ΚΑΤΑ ΤΙ ΜΙΜΕΙΤΑΙ ΑΓΑΘΙΑΣ

ΗΡΟΔΟΤΟΝ ΚΑΙ ΠΡΟΚΟΠΙΟΝ

ΔΙΑΤΡΙΒΗ

ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΚΑΙΣ ΕΞΕΤΑΣΕΣΙΝ

ΥΠΟ

Γ. ΣΠΥΡΟΠΟΥΛΟΥ

Διδ. Φιλ.

Spyropoulos

Ἐν Ἀθήναις τῇ 20 Μαΐου 1892



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡΑΣΚΕΥΑ ΛΕΩΝΗ
Ὁδὸς Λέκα, Στοὰ Σιμοπούλου

ΚΑΤΑ ΤΙ ΜΙΜΕΙΤΑΙ ΑΓΑΘΙΑΣ

ΗΡΟΔΟΤΟΝ ΚΑΙ ΠΡΟΚΟΠΙΟΝ

ΔΙΑΤΡΙΒΗ


ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΚΑΙΣ ΕΞΕΤΑΣΕΣΙΝ

ΥΠΟ

Γ. ΣΠΥΡΟΠΟΥΛΟΥ

Διδ. Φιλ.

Ἐν Ἀθήναις τῇ 20 Μαΐου 1892



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡΑΣΚΕΥΑ ΛΕΩΝΗ
Ὁδὸς Λέκκα, Στοὰ Σιμοπούλου

Αἱ παραπομπαὶ γίγνονται εἰς μὲν τὸν Ἡρόδοτον, ἔκδοσις *von Stein* κατὰ § καὶ στίχους, εἰς δὲ τὸν Προκόπιον, ἔκδοσις *Bonnæ*, καὶ εἰς τὸν Ἀγαθίαν, *editio dindorf* κατὰ σελίδα καὶ στίχους.

ΚΑΤΑ ΤΙ ΜΙΜΕΙΤΑΙ ΑΓΑΘΙΑΣ

ΗΡΟΔΟΤΟΝ ΚΑΙ ΠΡΟΚΟΠΙΟΝ

---

§ 1. Ἐπειδὴ τινες τῶν Βυζαντίνων συγγραφέων οὔπω τῆς δεούσης προσοχῆς καὶ ἐξετάσεως ἠξίωνται, ἔδοξέ μοι σκοπὸν τῆς παρούσης πραγματείας προτιθέναι τὴν ἐξέτασιν καὶ παραβολὴν τοῦ Βυζαντίνου συγγραφέως Ἀγαθίου πρός τε τὸν αὐτοῦ σύγχρονον Προκόπιον καὶ τὸν πολλῷ ἀμφοτέρων προτερόχρονον Ἡρόδοτον. Καὶ πρὶν ἢ προβῶμεν εἰς τὰ καθ᾽ ἕκαστα, ἤτοι κατὰ τί Αγαθίας τοὺς ἄνω μνημονευθέντας συγγραφεῖς μιμεῖται, οὐκ ἀπὸ σκοποῦ κρίνομεν ἐν εἴδει εἰσαγωγῆς συντομωτάτην βιογραφίαν ἑκάστου αὐτῶν προτάξαι.

§ 2. Ἀγαθίος μὲν οὖν ὁ ῥήτωρ ἐγεννήθη ἐν Μιρύνᾳ τῆς Ἀσίας περὶ τὸ 536 ἔτος π. Χ. Μετὰ μικρὰν δὲ ἐγκυκλοπαιδικὴν παίδευσιν ἐδέησε χάριν τῶν αὐτοῦ σπουδῶν εἰς Ἀλεξάνδρειαν μεταβῆναι, ἐκεῖθεν πάλιν ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν, ἔνθα συμπληρώσας τὰς αὐτοῦ σπουδὰς καὶ ἐν τοῖς νομικοῖς πρακτικῶς ἐξασκηθεὶς ἐπεδόθη τοῦ λοιποῦ εἰς τὸ δικηγορικὸν στάδιον· κατὰ τὴν αὐτοῦ ὅμως νεότητα ἠσχολεῖτο καὶ εἰς τὴν ποίησιν· τῆς ἐνασχολήσεως δὲ ταύτης προϊόντα εἰσὶν 9 βιβλία Δαφνιακὰ καλούμενα, ἅτινα ζῶντος τοῦ Ἰουστινιανοῦ ἐδημοσίευσεν, καὶ ὧν λείψανα ἡμῖν διεσώθησαν, ἐν ᾧ ἡ αὐτοῦ ἱστορία ἐκ 5 βιβλίων συγκειμένη μετὰ τὸν θάνα-

τον τούτου τὸ φῶς εἶδεν. Ἔστι δὲ αὕτη συνέχεια τῆς τοῦ Προκοπίου περιλαμβάνουσα γεγονότα 5 μόνων ἐτῶν, ἤτοι ἀπὸ τοῦ ἔτους 582 μέχρι τοῦ 588· ἀπέθανε δὲ περὶ τὸ ἔτος 582, ὥστε τὸ αὐτοῦ ἔργον ἔμεινεν ἀτελές.

§ 3. **Περὶ Προκοπίου.** Ὁ σπουδαῖος ἱστοριογράφος τῆς Βυζαντιακῆς ἐποχῆς Προκόπιος ἐγεννήθη κατὰ τὸ ἔτος 527 ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, ἐπεδόθη κατ' ἀρχὰς εἰς τὸ δικηγορικὸν στάδιον καὶ ἰδίᾳ ἐν Κωνσταντινουπόλει, ἔνθα μεγάλως ηὐδοκίμησεν. Εἶτα προσληφθεὶς ὑπὸ τοῦ στρατηγοῦ Βελισσαρίου ὡς σύμβουλος καὶ γραμματεὺς αὐτοῦ· τοῦτον ἠκολούθησεν ἐν ταῖς πλείσταις τῶν αὐτοῦ ἐκστρατειῶν, ἤτοι εἰς Ἀφρικὴν πολεμοῦντα κατὰ Βανδάλων, εἰς Ἰταλίαν κατὰ Γότθων καὶ εἰς Περσίαν κατὰ Περσῶν· ἐντεῦθεν συνέλεξεν οὗτος τὸ πλεῖστον τῆς διὰ τὴν αὐτοῦ ἱστορίαν χρησιμευσάσης ὕλης. Τὸ αὐτοῦ ἔργον διῄρεσεν ὁ Προκόπιος εἰς 7 βιβλία τοὺς προμνημονευθέντας πολέμους περιέχοντα· εἶτα συνέγραψεν ἕτερον μικρὸν ἔργον, ὅπερ ἐγκώμιον τοῦ Ἰουστινιανοῦ ὑποληφθῆναι δύναται, ἅτε δὴ ἐν τῇ περιγραφῇ τῶν ὑπὸ Ἰουστινιανοῦ κτισμάτων πλεῖστοι ἔπαινοι τοῦ αὐτοῦ λίαν ἐπιτηδείως ἐνυφασμένοι περιέχονται. Ὡς συμπλήρωμα τῆς πολεμικῆς αὐτοῦ ἱστορίας ἐποιήσατο ἕτερον ἔργον, τὰ αὐτοῦ ἀνέκδοτα, ἐν ᾧ δριμὺς κατὰ Ἰουστινιανοῦ, Βελισσαρίου καὶ τῶν ἑαυτῶν συζύγων καταφέρεται. Οἱ ἔπαινοι, οὓς ἴσως ἐκ φόβου, ἐν τῇ τῶν οἰκοδομημάτων περιγραφῇ ὑπὲρ τοῦ Ἰουστινιανοῦ ἐφιλοτέχνησεν, ἐν τῇ τελευταίᾳ αὐτοῦ συγγραφῇ, τῇ *Historia arcana*, εἰς δεινὸν κατηγορητήριον μεταβέβληνται· ὁ χρόνος τοῦ αὐτοῦ θανάτου οὐκ ἔστιν ἡμῖν ἀκριβῶς γνωστός, κατὰ τὰς πιθανωτέρας ὅμως γνώμας θεωρεῖται τὸ ἔτος 562 π. Χ. Ἡ βιογραφία τοῦ τρίτου τῶν τοῦ ἡμετέρου θέματος συγγραφέων παραλέλειπταί μοι ἐξεπίτηδες, τὰ μὲν ἅτε πολλῶν περὶ ταύτης γραψάντων, τὰ δὲ ἵνα, ἀντ' αὐτῆς ὀλίγας κρίσεις περὶ ἑκάστου τῶν ἐν λόγῳ συγγραφέων ἐξενεγκών, εἰσέλθω εἰς τὸ κύριον τῆς παρούσης πραγματείας θέμα.

Σύντομος χαρακτηρισμὸς τῶν ἄνω συγγραφέων

§ 4 Δι' ὀλίγων γραμμῶν ἠδύνατό τις ὧδέ πως τοὺς ἡμετέρους συγγραφεῖς χαρακτηρίσαι· ἕκαστος τούτων ἀποτελεῖ, οὕτως εἰπεῖν, ζῶσαν εἰκόνα τῶν ἠθῶν, ἐθίμων κρατουσῶν τότε πολιτικῶν τε καὶ θρησκευτικῶν ἰδεῶν, σὺν τῇ διοφορᾷ ὅμως ὅτι ἕκαστος ἐξέθετο ταῦτα κατὰ τὸ μέτρον τῆς φυσικῆς αὐτοῦ περὶ τὸ συγγράφειν ἰδιοφυΐας μεγάλως ἐπηρεασθεὶς ἐκ τοῦ χαρακτῆρος τῆς ἐποχῆς του. Διότι ὁ μὲν Ἡρόδοτος ζήσας ἐν ἐποχῇ καθ' ἣν οἱ ἄνθρωποι ὄντες λατρευταὶ τῆς φύσεως καὶ τοῦ φυσικοῦ καλοῦ, εἶχον τοὺς τρόπους ἀφελεῖς καὶ τὰ ἤθη ἁπλᾶ καὶ ἀρχαϊκά, ποιεῖται μετὰ θαυμασίας χάριτος καὶ παιδικῆς ἁπλότητος τὴν περιγραφὴν τῶν διαφόρων ἐθνῶν καὶ χωρῶν, ἃς ἢ ὁ ἴδιος περιηγήθη καὶ ἐσπούδασεν, ἢ ἐξ ἄλλων τὰς εἰδήσεις παρέλαβεν. Ἡ γλῶσσα αὐτοῦ ἐστιν ἡ βελτιωθεῖσα Ἰωνική, ἡ κατασκευὴ τῶν προτάσεων ἁπλῆ καὶ εὐσύνοπτος· τὸ μέγα αὐτοῦ προτέρημα ἔγκειται ἐν τῇ διηγήσει ἐχούσῃ πολὺ τὸ ἐναργὲς καὶ πλαστικόν.

§ 5. Ὁ δὲ Προκόπιος μετὰ τοῦ ὀλίγῳ μεταγενεστέρου αὐτοῦ Ἀγαθίου ζήσαντες ἐν ἐποχῇ ἐν ᾗ ὁ βίος μαλθακώτερος ὢν καὶ πολὺ τὸ ἐπιτετηδευμένον ἔχων μάλιστα δὲ ἐν τῇ τῶν Βυζαντίνων αὐτοκρατόρων αὐλῇ, ἔνθα τὰ πάντα ἦν προσποιητά, πομπώδη καὶ πολὺ τὸ θεαματικὸν ἐνέχοντα, ὡς ὁ ἴδιος Ἀγαθίας τὴν περιγραφὴν Ρωμαϊκοῦ τινος δικαστηρίου καὶ μάλιστα ἐν στρατοπέδῳ συγκροτηθέντος περιγράφων, λέγει τάδε «σελὶς 290, καὶ τοίνυν ὁ Ἀθανάσιος ἐπὶ θώκου τινὸς ὑψηλοῦ καθῆστο εὐπρεπῶς, χλαμύδα ἐνειμένος, ὥσπερ ἀμέλει οἱ ἀστικώτατοι τῶν ἡγεμόνων . . . . . . ταῦτα γὰρ καὶ τοὺς ἐν Βυζαντίῳ ἀστούς, καίτοι θαμὰ ἐκεῖσε γιγνόμενα, καταπλήττει καὶ ἐξίστησι τῶν φρονημάτων, μήτι γε βαρβάρους καὶ οὐκ εἰθισμένους· τούτων μὲν οὖν ἕνεκα, οἶμαι Ρωμαϊκὸν δικαστήριον, μᾶλλον μὲν οὖν Ἀττικώτατον, ὑπὸ τῷ Καυκάσῳ συνεκροτήθη», ἐξιστοροῦσι τὰ γεγονότα

μετά τινος ἐπιδεικτικοῦ καὶ διὰ πολλῶν περιφράσεων κεκοσμημένου ὕφους, ἐν ᾧ ὑπερβαίνει ὁ Ἀγαθίας τὸν Προκόπιον. Πανταχοῦ τῆς αὐτῶν διηγήσεως ἐμφαίνουσι τὸν στόμφον καὶ τὴν ὑπερβολὴν μὴ παραλείποντες σχεδὸν σελίδα, ἐν ᾗ οὐκ ἐγκατασπείρουσι ποιητικῆς χροιᾶς ἄνθη ἄφθονα, ἅτινα ὅμως πολὺ ὀλίγον τοῖς ἱστορικοῖς πρέπουσιν· ἀμφότεροι οὐκ ἀπαξιοῦσι πολλὰς λέξεις καὶ φράσεις ἐκ δεκάδος ἄλλων ἱστορικῶν καὶ ποιητῶν ἔτι δανεισθῆναι ἐπὶ μόνῳ τὸ σκοπῷ τὸ ἑαυτῶν ὕφος τερπνότερον καὶ ἐπαγωγικώτερον καταστῆσαι. Ὁ Προκόπιος ἐν τῇ τάσει τοῦ ἀπομιμηθῆναι ἔν τισι χωρίοις τὸν Θουκυδίδην θυσιάζει χάριν τῆς μιμήσεως καὶ αὐτὴν τὴν ἀλήθειαν, ὡς ὁ *Krumbacher* ἐν τῇ αὐτοῦ Γραμματολογίᾳ λίαν ὀρθῶς παρατηρεῖ, ἰδὲ *Gothico IV* σελὶς 462. Ὁμοίως καὶ τὴν σύνταξιν τῶν προθέσεων πολλάκις συγχέει, περὶ οὗ καὶ *Teuffel* ἐν τῷ αὐτοῦ φιλολόγῳ λόγον ποιεῖται, οἷον ἐν *bello Gothico IV* 16 λέγει «εἰς τὰς ὀρῶν ὑπερβολὰς ἡσυχῇ ἔμειναν,» ἔνθα διὰ τῆς εἰς καὶ αἰτιατικῆς τὴν ἐν τόπῳ στάσιν προφανῶς σημῆναι βούλεται, ὅπερ οὐ συγγνωστὸν ἁμάρτημα. Καὶ μεθ' ἁπάντων τῶν αὐτοῦ γραμματικῶν σφαλμάτων, ὑπερέχει ὅμως τοῦ Ἀγαθίου κατὰ τὴν διαύγειαν τοῦ ἐποπτικοῦ καὶ τὸ νευρωδέστερον αὐτοῦ λεκτικὸν ὕφος, ὅπερ δείκνυσι περισσοτέραν ἱστορικὴν χροιὰν ἢ τὸ τοῦ Ἀγαθίου, ὃς καίτοι ἐν τῇ ποιήσει οὐκ ὀλίγον ἂν εὐδοκίμησεν, ὡς ἐκ τῶν σῳζομένων αὐτοῦ ποιημάιων ἐμφαίνεται, εἰ μὴ ταύτην καταλιπὼν εἰς τὸ ἀλλότριον αὐτῷ ἔργον, τὸ τοῦ ἱστορικοῦ, ἐτράπετο. Ἐκτὸς τῶν ἄλλων γλωσσικῶν κηρῶν, ὧν οὐδ ὁ Προκόπιος στερεῖται, καὶ αἵτινες δείκνυσιν ὅτι οὗτοι ἔζων ἐν τῇ παρακμῇ τῆς γλώσσης καὶ τελείᾳ ἀπομαράνσει τοῦ γλωσσικοῦ αἰσθήματος. Ὁ Ἀγαθίας ἰδίᾳ πλατύνει τοσοῦτον τὰς αὐτοῦ προτάσεις, ὥστε ὁ πυρὴν τῶν αὐτοῦ διανοημάτων κρύπτεται συνήθως ἐν τῷ μέσῳ σκοτεινῆς καὶ πυκνῆς νεφέλης περιφράσεων, κοσμητικῶν ἐπιθέτων καὶ παντὸς εἴδους ἠχηρῶν λέξεων, καὶ τοῦτο ἵνα τὸ αὐτοῦ ὕφος κομπωδέστερον ἐπεξεργάσηται καὶ τῷ χαρακτῆρι

τῆς αὐτοῦ ἐποχῆς μᾶλλον πρόσφορον παραστήσηται· πρὸς τοῦτο δὲ οὐ μόνον λέξεις ποιητικὰς οὐκ ἀποφεύγει παρεμβαλεῖν, ἀλλὰ καὶ πολλὰς αὐτῷ ἰδίας καὶ ἐν τοῖς πλείστοις τῶν λεξικῶν μὴ ἀπαντώσας δημιουργεῖ, ὧν τινας ἐνθάδε δείγματος χάριν παρατίθεμεν, οἷον «βῶμαξ»[1] ᾗ χρῆται ἐν σελίδι 130, 21 ἔνθα λέγει «ὁ βῶμαξ ἐκεῖνος καὶ ἔμπληκτος»· διατρίζω, ὡς ἐν σελ 292, 18 ἀπαντᾷ «διατετριγέναι τὰ ξύλα»· ἐν 326, 19, «ἐντροπόσμαι» ἐν 326, 18 «ἐπικαλαμὶς» οἷον «πτύα ὡς πλεῖστα τοῖς ἐπικαλαμίσιν ἐντροπωσάμενοι»· «σπαλίων» 147 15 καὶ 195,5· τούτων πλείους ὡς καὶ ἐκ τῶν σπανίως ἐν τοῖς λεξικοῖς ἀπαντωσῶν, ἴδε ἐν τῷ *Index Græcus editio von Niebuhr*. Ὁ δὲ *Schneiderwin* ἐν τῷ φιλολόγῳ *erster Jahrgang* 1886 λέγει ὅτι ἡ τοῦ Ἀγαθίου γλῶσσα τοσοῦτον ἐπιτετηδευμένη ἐστίν, ὥστε νομίζει τις, ὅτι ταύτην ἐκ τῶν βιβλίων δεδίδακται καὶ ἐκ τῶν λεξικῶν τὰς λέξεις ἀδεξίως παρείληφεν, ὡς εἴ ξένην τινὰ καὶ οὐχὶ τὴν αὐτοῦ μητρικὴν γλῶσσαν ἔγραφεν. Ὡσαύτως ἐκτὸς τῶν Ἰωνικῶν καὶ πολλαῖς ἄλλαις ποιητικαῖς λέξεσι χρῆται, οἷον ἀστεμφής, ἀδόνητος, ἕκατι τιμαλφής, διαπρύσιον, ἐπαγλαΐζω κλ ἴδε φιλόλογον *Schneiderwin*· τέλος δύναταί τις εἰπεῖν, ὅτι ἀμφότεροι οἱ συγγραφεῖς οὗτοι πάσχουσι κοινόν τι νόσημα, τοῦτ' ἔστι, καίτοι πειρῶνται ἱστορίαν συγγράψαι, καταφωρῶσιν ὅμως ἑαυτούς, ἰδία δὲ Ἀγαθίας, μᾶλλον ῥήτορας καὶ δὴ τῆς Βυζαντιακῆς ἐποχῆς ἢ ἱστοριογράφους, ἅτε δὴ μετὰ ποιητικοῦ καὶ στομφώδους ὕφους τὴν αὐτῶν ἱστορίαν ξυγγράφουσιν. Εἰ δὲ δεῖ τι καὶ περὶ τῶν αὐτοῦ ποιημάτων εἰπεῖν, οὐκ ὀκνοῦμεν αὐτὸν ἐπαινέσαι· πεποίηκε γὰρ ταῦτα λίαν ἐντέχνως καὶ δὴ τὰ αὐτοῦ ἐρωτικά, ἐν οἷς ἀπαντῶσί τινα μικρὸν τῶν τῆς κλασικῆς ἐποχῆς ὑπολειπόμενα, προδίδοντα ποιητικὸν τάλαντον, ἡδεῖάν τινα χάριν καὶ λεπτότητα, σπάνιον προτέρημα τῆς τοῦ Ἀγαθίου ἐποχῆς. Νῦν το-

[1] Ἐν τῷ κειμένῳ ἡ λέξις βώμαξ φέρεται παροξυτόνως, κάλλιον ὅμως βῶμαξ, ὡς κῆρυξ, λαῖλαψ κλ ἅτινα ἔχουσι βραχὺ τὸ δίχρονον τῆς ληγούσης.

σοῦτον ἕκαστον τούτων χαρακτηρίσαντες μεταβῶμεν εἰς τὸ κύριον ἡμῶν θέμα, ἤτοι κατὰ τί Ἀγαθίας μιμεῖται πρῶτον μὲν τὸν Ἡρόδοτον, εἶτα δὲ τὸν Προκόπιον καὶ δὴ τὸν μὲν Ἡρόδοτον μιμεῖται Ἀγαθίας.

Α^ον κατὰ τὰς ἀκολούθους διηγήσεις

§ 6 Ἐν Α΄ παραγράφῳ 140 τοῦ λόγου ὄντος περὶ τῆς ταφῆς τῶν Περσῶν ὁ Ἡρόδοτος λέγει, «Ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἰπεῖν· τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφέως περὶ τοῦ ἀποθανόντος, ὡς δ'οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς πρὶν ἂν ὑπ'ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ». Παρόμοιον θρησκευτικὸν ἔθιμον διηγεῖται καὶ Ἀγαθίας ἐν σελίδι 217, στίχῳ 27 οἷον «Τότε δὴ τὸ σῶμα τοῦ Μερμερόου οἱ ἀμφ'αὐτὸν ἀνελόμενοι καὶ ἐκτός που τοῦ ἄστεος[1] ἀποκομίσαντες, οὕτω δὴ ἔρημόν τε καὶ ἀκάλυπτον κατὰ τὸν πάτριον ἔθεντο νόμον κυσί τε καὶ ἅμα καὶ τῶν ὀρνέων τοῖς ὅσα μιαρὰ καὶ νεκροβόρα παρανάλωμα γενησόμενον». Ἐν τῇ αὐτῇ πάλιν σελίδι παρακατιὼν ὁ μὲν Ἡρόδοτος λέγει τάδε «Οἱ δὲ μάγοι[2] αὐτοχειρίῃ πάντα πλὴν κυνὸς καὶ ἀνθρώπου κτείνουσι, καὶ ἀγώνισμα τοῦτο μέγα ποιεῦνται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφεις καὶ τἆλλα ἑρπετὰ καὶ πετεινά». Ὁ δ' Ἀγαθίας πάλιν περὶ τοῦ αὐτοῦ ἀντικειμένου λόγον ποιούμενος ἐκφράζεται ὧδε· σελ. 221, 21—25· «ἑορτήν τε πασῶν μείζονα τὴν τῶν κακῶν λεγομένην ἀναίρεσιν ἐκτελοῦσιν, ἐν ᾗ τῶν τε ἑρπετῶν πλεῖστα καὶ τῶν ἄλλων ζῴων ὁπόσα ἄγρια καὶ ἐρημονόμα κατακτείνοντες τοῖς μάγοις προσάγουσιν, ὥσπερ εἰς ἐπίδειξιν εὐσεβείας». Ἐνταῦθα, ὡς ἐκ τῶν ἄνω παρατεθειμένων χωρίων καταφαίνεται, συμφωνεῖ Ἀγαθίας τῷ Ἡροδότῳ κατὰ τὴν βεβαίωσιν τοῦ γιγνομένου φόνου τῶν ἑρπετῶν, καὶ λοιπῶν ζῴων διαφωνοῦσι δὲ κατὰ τοῦτο, ὅτι

[1] Ἄστεως μετὰ ω κάλλιον ἂν εἴη.

[2] Ἐν τῷ κειμένῳ ὑπὸ *Stein* ἀπαντᾷ διὰ κεφαλαίου Μ, προτιμότερον ὅμως διὰ μικροῦ ἐστιν.

ὁ μὲν Ἡρόδοτος ἀναφέρει ὡς φονεῖς αὐτοὺς τοὺς μάγους, ὁ δ' Ἀγαθίας παραδέχεται τοὺς μάγους ἁπλῶς ὡς δεχομένους τὰ παρ'ἄλλων εἰς ἐπίδειξιν εὐσεβίας αὐτοῖς προσαγόμενα ζῷα· ἀλλ' ἡ διαφωνία αὕτη, κατά γε τὴν ἐμὴν γνώμην, δύναται οὕτως εὐοδωθῆναι· ὁ μὲν Ἡρόδοτος γράφει τὴν αὐτοῦ ἱστορίαν ἐν παλαιοτάτῃ ἐποχῇ, καθ'ἣν ἡ ἐκτέλεσις τῆς ζῳοκτονίας ἴσως διὰ τῶν μάγων ἐγίγνετο, ὁ δ' Ἀγαθίας συγγράφει ἐν πολὺ μεταγενεστέρᾳ ἐποχῇ, ὡς ἐν τῇ αὐτῇ σελίδι στίχῳ 4ῳ λέγει «Τὸ μὲν γὰρ παλαιὸν Δία τε καὶ Κρόνον καὶ τούτους δὴ ἅπαντας τοὺς παρ' Ἕλλησι θρυλλουμένους ἐτίμων θεοὺς ..... νῦν δὲ ὡς τὰ πολλὰ ......» ἐξ οὗ ἀποδείκνυται ὅτι ἐπ' Ἀγαθίου ἡ ἀρχαία αὐτῶν λατρεία κατά τι μετεβέβλητο. Τὴν γνώμην μου ταύτην βεβαιοῖ καὶ τὸ ἐν σελίδι 220,21 ὑπάρχον χωρίον ἔχον οὕτως. «Πέρσαι δὲ τοῖς νῦν τὰ μὲν πρότερα ἤθη σχεδὸν ἅπαντα παρεῖται ἀμέλει καὶ ἀνατέτραπται, ἀλλοίοις δέ τισι καὶ οἷον νενοθευμένοις χρῶνται νομίμοις ἐκ τῶν Ζωροάστρου τοῦ Ὀρμάσδεως διδαγμάτων κατακηληθέντες». Τούτων οὕτως ἐχόντων, φέρε παραθῶμεν πρῶτον μὲν τὴν Ἡροδότειον περὶ Σμέρδιδος τοῦ μάγου διήγησιν, εἶτα δὲ τὴν τοῦ Ἀγαθίου τοιαύτην. καὶ δή, ὁ μὲν Ἡρόδοτος ὧδε ταύτην ἐξιστορεῖ. Γ § 61 «Καμβύσῃ δὲ τῷ Κύρου χρονίζοντι περὶ Αἴγυπτον καὶ παραφρονήσαντι ἐπανιστέαται ἄνδρες μάγοι δύο ἀδελφοί, τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκείων μελεδωνὸν ὁ Καμβύσης»· Εἶτα ἐξακολουθεῖ διηγούμενος τὸν ὑπὸ Καμβύσου φόνον τοῦ αὐτοῦ ἀδελφοῦ Σμέρδιος καὶ τὸν τρόπον τῆς καταλήψεως τῆς βασιλείας ὑπὸ τοῦ μάγου Σμέρδιος μέχρι § 67, ὅτε πάλιν λέγει. «Ὁ δὲ δὴ μάγος τελευτήσαντος Καμβύσεω ἀδεῶς ἐβασίλευε ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου»· παρακατιὼν διηγεῖται τὰ κατὰ τὴν ἀνακάλυψιν τοῦ μάγου Σμέρδιος μέχρι τῆς § 78,25· ἔπειτα τὸν φόνον τῶν μάγων ἔχοντα οὕτω. «Δαρεῖος δὲ πειθόμενος ὦσε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ μάγου· ἀποκτείναντες δὲ τοὺς μάγους καὶ ἀποταμόντες αὐτῶν τὰς κεφαλάς, τοὺς μὲν τρωματίας ἑωυτῶν αὐτοῦ

λείπουσι καὶ ἀδυνασίης ἕνεκεν καὶ φυλακῆς τῆς ἀκροπόλιος, οἱ δὲ πέντε αὐτῶν ἔχοντες τῶν μάγων τὰς κεφαλὰς ἔθεον ἔξω βοῇ τε καὶ πατάγῳ χρεόμενοι, καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο ἐξηγεόμενοί τε τὸ πρῆγμα καὶ δεικνύοντες τὰς κεφαλάς· καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν μάγων τὸν ἐν ποσὶ γιγνόμενον· οἱ δὲ Πέρσαι μαθόντες τὸ γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα μάγον. Ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων καὶ ἐν αὐτῇ ἑορτὴν μεγάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφονία· ἐν τῇ μάγον οὐδένα ἔξεστι φανῆναι εἰς φῶς, ἀλλὰ κατ' οἴκους ἑωυτοὺς οἱ μάγοι ἔχουσι τὴν ἡμέραν ταύτην». Ὁ μὲν οὖν Ἡρόδοτος οὕτω τὰ ἄνω διηγεῖται, Ἀγαθίας δὲ ἐν σελίδι 225,1, ὧδε· «Οὐ γὰρ ἂν οἱ ἀμφὶ Δαρεῖον Πέρσαι, Σμέρδιος πάλαι τοῦ μάγου μετὰ Καμβύσην τὸν Κύρου τὴν βασιλείαν ὑποσυλήσαντος ξυμφορὰν ἐποιοῦντο τὸ γεγενημένον, καὶ αὐτόν τε τὸν Σμέρδιν ἀπέκτειναν καὶ πολλοὺς τῶν ὅσοι ὁμογνώμονες ἐκείνῳ ἐτύγχανον ὄντες, ὡς οὐκ ἐξὸν τοῖς μάγοις τῷ βασιλείῳ θρόνῳ ἐνωραΐζεσθαι καὶ ἰζάνειν· οὕτω δὲ αὐτοῖς οὐ μιαροὶ ἔδοξαν εἶναι οἱ φόνοι, μᾶλλον μὲν οὖν καὶ μείζονος ἄξιοι μνήμης, ὥστε ἀμέλει τὴν στάσιν ἐκείνην μαγοφόνια ἑορτὴν ὀνομασθῆναι καὶ θυσίας ἐπιτελεῖσθαι χαριστηρίοις». Ταῦτα μὲν οὖν ὡς πρὸς τοὺς μάγους ἑκάτερος τούτων διηγεῖται· περὶ δὲ τῆς τιμῆς, ἣν οἱ Πέρσαι τῷ πυρὶ ἀπονέμουσιν, ὁ μὲν Ἡρόδοτος ἐν Γ § 16,11 λέγει «Πέρσαι γὰρ θεὸν νομίζουσιν εἶναι τὸ πῦρ». Ἀγαθίας δὲ ἐν σελίδι 222,2 πάλιν τὰ ἑξῆς «τὸ δὲ πῦρ αὐτοῖς τίμιόν τε δοκεῖ εἶναι καὶ ἁγιώτατον».

Β^ον κατὰ τὰς ἀκολούθους φράσεις καὶ λέξεις

§ 7. Ὁ Ἡρόδοτος ἐν Θ § 11,17 χρῆται τῇ φράσει «εἴχοντο ἔργου» οἷον «τοῖσι δὲ Ἕλλησιν ὡς ἐσήμηνε, πρῶτα

μὲν ἀντίπρωροι τοῖσι βαρβάροισι γενόμενοι, εἰς τὸ μέσον τὰς πρώρας συνήγαγον, δεύτερα δὲ σημήναντος ἔργου εἴχοντο ἐν ὀλίγῳ περ ἀπολαμφθέντες καὶ κατὰ στόμα»· ἔτι καὶ ἐν[1]. Ὁ δ' Ἀγαθίας ἐν σελίδι 135,25 λέγων «ὡς δὴ οὖν οἴκαδε οὔσης τῆς μεταστάσεως θαρροῦντά τε ἰέναι ἐκέλευε καὶ σθένει παντὶ ἔχεσθαι ἔργου»· πρὸς δὲ καὶ ἐν[2]. Ὁ Ἡρόδοτος αὖθις χρῆται τῇ φράσει «οὐκ εἰς μακρὴν» ἐν τῇ σημασίᾳ τοῦ μετ' οὐ πολύ, μετ' ὀλίγον ὡς ἐν Ε § 108,20. «Πειθόμενος δὲ ταῦτα Ὀνήσιλος κήρυκας διέπεμπε εἰς τὴν Ἰωνίην ἐπικελευόμεος σφέας, Ἴωνες δὲ οὐκ εἰς μακρὴν βουλευσάμενοι ἧκον πολλῷ στόλῳ»· ἔτι ἐν[3]· τῇ αὐτῇ φράσει χρῆται καὶ Ἀγαθίας ἐν σελ. 148,5· οἷον «οὐκ εἰς μακρὰν δὲ καὶ Θευδέριχος νόσῳ ἁλοὺς ἀπεβίω»· ὡσαύτως καὶ ἐν[4]. Αὖθις χρῆται πλειστάκις ὁ Ἡρόδοτος τῇ φράσει «βορέην, ζέφυρον, νότον ἢ ἀπηλιώτην ἄνεμον» ἀείποτε σχεδὸν μετὰ τοῦ οὐσιαστικοῦ ἄνεμον καὶ οὐχὶ ἁπλῶς πρὸς νότον, βορέην κ.λ. οἷον ἐν Α § 6, 4. «τοῦ Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Συρίων τε καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον εἰς τὸν εὔξεινον καλούμενον Πόντον»· καὶ ἐν[5]. Ὁμοίως καὶ Ἀγαθίας ἐν σελίδι 272,19· «ἐβούλετο γὰρ εἰς τὰ πρὸς νότον ἄνεμον ἱκέσθαι τοῦ ἄστεος, ὅθεν δὴ αὐτῷ οὐδαμῶς ᾗ ἔμελλε τὰ ῥεῖθρα τοῦ ποταμοῦ κώλυμα ἔσεσθαι τῷ περιβόλῳ πελάζοντι»· πρὸς δὲ καὶ ἐν[6]. Τὸ ποιητικὸν αἴτιον ὅτε Ἡροδ. καὶ Ἀγαθίας ἐκφέρουσιν ἐπὶ ἐμψύχου πολλάκις διὰ γενικῆς μετὰ τῆς προθέσεως πρός, οἷον Ἡροδ. Α § 36,6. «Πολλάκις δὲ οἱ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες ποιέεσκον μὲν κακὸν οὐδέν, ἔπασχον δὲ πρὸς αὐτοῦ»· καὶ ἐν[7]. Αὖθις Ἀγαθ.

[1] Ἡρ Ι § 102,11.
[2] Ἀγαθ. 278,30. 283,15. 194,11.
[3] Ἡρόδ. Β § 121,20. Ε § 108,10.
[4] Ἀγαθ. 145,14. 156,9. 200,6. 240,1. 245,2. 267,4. 352,7.
[5] Ἡροδ. Α § 72, 8. Γ § 97, 17. Η § 129,5 καὶ 7. Δ § 116, 4.
[6] Ἀγαθ. 274, 6. 365,2. 272,19. 365,32 κλ.
[7] Ἡροδ. Α § 114,20, Β § 34,2, Η § 135,12. Ι § 120,10.

ἐν [4] καὶ ἐν σελίδι 161,27 λέγει, «ἐμέμνηντο δὲ τῆς κομιδῆς τε καὶ ἐπιμελείας, ὁπόσης ἔτυχον πρὸς αὐτοῦ». Πρὸς τούτοις ὁ Ἡρόδ. χρῆται τὸ «οὐκ ἔχω» μετ' ἀπαρεμφάτου συντεταγμένον ἐπὶ τῆς σημασίας τοῦ οὐ δύναμαι, οἷον ἐν Α § 57,2 «ἥντινα δὲ γλῶσσαν ἵεσαν οἱ Πελασγοὶ οὐκ ἔχω ἀτρεκέως εἰπεῖν»· ἔτι καὶ ἐν τοῖς ἑξῆς χωρίοις.[2] Τοῦτον μιμεῖται καὶ Ἀγαθ. ἐν [3] καὶ ἐν 335,3· οἷον, «ἃ μὲν αὐτοῖς ἐπὶ τῇ ἵππῳ μεμάντευται, οὐκ ἔχω σαφῶς ἀποφήνασθαι». Οὐχὶ σπανίως πάλιν ἀπαντᾷ παρ' Ἡροδότῳ καὶ ἡ φράσις «πρὸς ἥλιον ἀνίσχοντα» ταύτῃ χρῆται πολλάκις καὶ Ἀγαθίας. Ὁ μὲν Ἡρόδοτος ἐν [4] καὶ ἐν Γ § 98,3· οἷον «ἔστι δὲ τῆς Ἰνδικῆς χώρης τὰ πρὸς ἥλιον ἀνίσχοντα ψάμμος» ὁ δ' Ἀγαθ. ἐν 155, 6· οἷον ἐν τῷ πρὸς ἥλιον ἀνίσχοντα τετραμμένῳ ἀγγῶνι, ἄντρον τι ὕπεστιν ἀμφηρεφές τε καὶ γλαφυρώτατον, ὡς ἄδυτα ἔχον αὐτόματα καὶ κῦτος εὐρὺ καὶ βαραθρῶδες»· ἔτι δὲ ἐν [5]. Ὁμοίως παρ' Ἡροδότῳ ἀπαντᾷ πολλάκις ἡ λέξις ἄχαρι σημαίνουσα κακόν τι ἢ δυσάρεστον, ἥτις λαμβανομένη μετὰ διαφόρων χρόνων τοῦ ῥήματος πάσχω ποιεῖται τὰς ἑξῆς φράσεις «οὐδέν ἄχαρι παθών, πεισόμενος, πείσεται, παθὼν κλ.» Παραθῶμεν δὲ ἐνταῦθα ὡς παράδειγμα τὴν § 141,14, Α ἔνθα ἀπαντᾷ «ὀλοφυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον καί οἱ δόξαι ἐν τῇ ὄψει ἐπιστάντα τὸν θεὸν θαρσύνειν, ὡς οὐδὲν πείσεται ἄχαρι ἀντιάζων τῶν Ἀραβίων στρατὸν» καὶ ἐν [6]. Καὶ παρ' Ἀγαθίᾳ ἐκτὸς τῶν ἐν [7], ἀπαντᾷ καὶ ἐν σελίδι 158,12· οἷον, «Φλωρέντιοι μὲν γὰρ ὑπαντιάσαντες καὶ τὰ πιστὰ κομισάμενοι ὡς οὐδὲν ἄχαρι πείσονται, σφᾶς τε αὐτοὺς ἐθελοντὰς καὶ τὰ οἰκεῖα παρέδοσαν». Πολλάκις ἐπὶ ἀριθμητικοῦ ποσοῦ θέλων Ἡ-

[1] Ἀγαθ. 254,10. 259,10. 305,16 κτλ.
[2] Ἡροδ. Α § 140,1. Β § 119,13. Δ § 180,16. Ε § 66,6. Θ § 87,5 κλ.
[3] 353,32. 323,2. 213,16. 270,22.
[4] Ἡροδ. Β § 136,3. Δ § 45,2. Η § 54,3.
[5] Ἀγαθ, 264,25. 366,17.
[6] Ἡρόδ. Ζ § 9,17. Η § 50,25. Ι § 138,1. Η § 138,6.
[7] Ἀγαθ. 298,18. 380,4.

ρόδοτος ἐκφράσαι τι οὐχὶ ὡς ἀκριβές, ἀλλὰ κατὰ προσέγγισιν χρῆται τῷ ἐπιρρήματι μάλιστα· οἷον ἐν Β § 8,18, «τῶν δὲ ὀρέων τῶν εἰρημένων τὸ μεταξὺ πεδιὰς μὲν γῆ, στάδιοι δὲ μάλιστα ἐδόκεόν μοι εἶναι, τῇ στεινότατόν ἐστι διακοσίων οὐ πλέους ἐκ τοῦ Ἀραβίου ὄρεος εἰς τὸ Λυδικὸν καλεόμενον». Καὶ ἐν[1]. Τῆς αὐτῆς φράσεως ποιεῖται χρῆσιν καὶ Ἀγαθίας ἐν σελ 185,22· οἷον «Ἐς τρεῖς γὰρ αὐτῷ μάλιστα μυριάδας μαχίμων ἀνδρῶν ἡ λειπομένη στρατιὰ ξυνετάττετο»· ἔτι δὲ καὶ ἐν[2]. Ὅπου τι ὁ Ἡρόδοτος ἢ οὐχὶ ὡς ἰδίαν αὐτοῦ διήγησιν παραστῆσαι βούλεται ἢ οὐδεμίαν πίστιν αὐτῷ δίδει, χρῆται τῷ φασίν, λέγεται, λέγουσιν κλ. ὡς ἐν Α § 2, 1. «Οὕτω μὲν Ἰοῦν εἰς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες, καὶ τῶν ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι». αὖθις ἐν[3]. Καὶ Ἀγαθίας ἐν σελ. 153,12, λέγει· «λέγεται δέ ποτε καὶ Αἰνείαν τὸν Ἀγχίσου αὐτοῦ ἅπαντα οἱ τὴν Σίβυλλαν φάναι τὰ ὕστερον ξυνενεχθέντα»· ὁμοίως καὶ ἐν[4]. Τῷ ἀορίστῳ τοῦ ῥήματος ξυμφέρομαι μετ᾽ἀπαρεμφάτου συντεταγμένον χρῆται πολλάκις Ἡρόδ. ὡς «ξυνηνείχθη γενέσθαι» ἀντὶ τοῦ ἁπλοῦ ξυνέβη ἢ ἐγένετο, ὡς ἐν Α § 19,2 «Τῷ δὲ δυοδεκάτῳ ἔτεϊ λήίου ἐμπιπραμένου ὑπὸ τῆς στρατιῆς συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα». Ἔτι καὶ ἐν τοῖς ἑξῆς χωρίοις[5]. Τὴν χρῆσιν ταύτην μιμεῖται καὶ Ἀγαθ. ὡς ἐν[6] καὶ ἐν 227 σελ. ἔνθα λέγει «Πολλὰς δὲ κατ᾽ἐκεῖνο τοῦ καιροῦ καὶ ἄλλας πόλεις ἐν τῇ Ἀσίᾳ Ἰωνικάς τε καὶ Αἰολίδας παραπλήσια παθεῖν ξυνηνέχθη». Ἀλλαχοῦ πάλιν ὁ Ἡρόδ. πρὸς δήλωσιν ὅρκου ἢ ἰσχυρᾶς βεβαιώσεως χρῆται τῇ φράσει «ἦ μὴν» μετ᾽ ἀπαρεμφάτου συντεταγμένην, ὡς ἐν[7] καὶ ἐν

[1] Ἡροδ. Α § 209,9. Β § 127,13 Β § 8,18.
[2] Ἀγαθ. 272,12. 215,21.
[3] Ἡροδ. Α § 21,1. Β § 122,9. Γ § 2,1. Γ § 33,3. Δ § 5,1, Ζ 52,7.
[4] Ἀγαθ. 155,9. 223,5. 242,11 κλ.
[5] Ἡροδ. Γ § 4,1 Ε § 33,7. Ζ,86,9.
[6] Ἀγαθ. 143,11. 209,12. 187,10.
[7] Ἡροδ. Α § 196,26. Γ § 74,9.

Α § 212,12 ἔνθα λέγει· «Εἰ δε ταῦτα οὐ ποιήσεις ἥλιον ἐπόμνυμι τὸν τῶν Μασσαγετέων δεσπότην, ἦ μέν σε ἐγὼ καὶ ἄπληστον ἐόντα αἵματος κορέσω». Ἀκριβῶς αὐτὴν ταύτην τὴν χρῆσιν παραλαμβάνει καὶ Ἀγαθίας· οἷον ἐν 180,18 «Βουτιλῖνος δὲ καὶ ὅτι ὠμωμόκει τοῖς Γότθοις, ἦ μὴν ξυνάρασθαι αὐτοῖς τὸν πρὸς Ρωμαίους ἀγῶνα, ...» περαιτέρῳ χρῆται τῇ ἰδίᾳ φράσει καὶ ἐν [1]. Ἀντὶ τοῦ κακόν τι ὑπολαμβάνειν, νομίζειν, ἀσχάλειν κλ. ὁ Ἡρόδοτ. ποιεῖται χρῆσιν τῆς φράσεως «δεινὰ ποιεῖσθαι, ἐποιεῖτο» ὡς ἐν Β § 133,4, ἔνθα λέγει «τὸν δὲ δεινὸν ποιησάμενον πέμψαι εἰς τὸ μαντήιον τῷ θεῷ τὸ ὀνείδισμα, ἀντιμεμφόμενον, ...» Αὖθις ἐν [2]. Κατὰ τοῦτο μιμεῖται τοῦτον καὶ Ἀγαθίας ἐν 196,2· οἷον «αἰτία δὲ ἦν τῆς ἐφόδου ὅσιον μὲν οὐδὲν οὐδὲ δίκαιον, ὅτι δὲ βασιλέα Δαρεῖον, ὡς ἔοικε, τὸ τῆς Ἀσίας μέγεθος οὐκ ἐχώρει, ἀλλὰ δεινὰ ἐποιεῖτο εἰ μὴ χειρώσοιτο καὶ τὴν Εὐρώπην»· ἔτι δὲ καὶ ἐν [3]. Πρὸς τούτοις Ἀγαθίας μιμεῖται τὸν Ἡρόδοτον καὶ κατὰ τὴν χρῆσιν τῆς περὶ προθέσεως, ᾗ χρῶνται ἀμφότεροι παροξυτόνῳ πολλάκις, ὡς Ἡροδ. μὲν ἐν Ε § 49,41 «ἑλόντες δὲ ταύτην τὴν πόλιν θαρσέοντες ἤδη τῷ Διῒ πλούτου πέρι ἐρίζετε»· ὡσαύτως καὶ ἐν [4]. Ὁ δ' Ἀγαθίας ἐν [5] καὶ ἐν 139,11, οἷον «εἴρηται δὲ αὐτῷ πολλὰ καὶ τοῦ μεγίστου λοιμοῦ πέρι, ὅπως τε τὴν ἀρχὴν κατ ἐκεῖνο τοῦ καιροῦ εἰς τὸ ἀνθρώπειον γένος εἰσῄρρησε καὶ ὁποῖα ἄττα παράλογα ἐν αὐτῷ συνηνέχθη». Καὶ κατὰ τὴν χρῆσιν τοῦ ῥήματος ἀληθίζεσθαι μιμεῖται Ἀγαθ. τὸν Ἡρόδ. χρώμενον τούτῳ ἐν Γ § 72,24 καὶ ἐν [6]· οἷον «εἰ δὲ μηδὲν κερδήσεσθε μέλλοιεν, ὁμοίως ἂν ὅτε ἀληθιζόμενος ψευδὴς εἴη καὶ ὁ ψευδόμενος ἀληθής». Τῷ αὐτῷ χρῆται καὶ Ἀγαθίας ἐν σελ. 137,14, ἔνθα λέγει Οὗτοι μὲν ξυγγρα-

[1] Ἀγαθ. 231,4. 280,24.
[2] Ἡροδ. Β § 133,3.
[3] Ἀγαθ. 328,14.
[4] Ἡροδ. Α § 32,7. Α § 36,14. Ζ § 57,24. Θ § 36,8 κλ.
[5] Ἀγαθ. 135,14. 150,12. 199,14.
[6] Ἡροδ. Γ, 72,21.

φόντων, ὅποι φίλον αὐτοῖς καὶ εἰθισμένον, ἐμοὶ δὲ τὸ ἀληθίζεσθαι ἐκτέον ἐς ὅ,τι χωρήσει». Αὖθις ἐν[1] καὶ Α § 72,3 ἀπαντῶμεν παρ' Ἡροδότῳ τῇ λέξει κατήκοος ἀντὶ τοῦ ὑπήκοος, ὑποτελής· οἷον «ἦσαν δὲ οἱ Σύριοι οὗτοι τὸ μὲν πρῶτον ἢ Πέρσας ἄρξαι Μήδων κατήκοοι, τότε δὲ Κύρου». Ἡ αὐτὴ λέξις ἀπαντᾷ καὶ παρ' Ἀγαθίᾳ ἐν[2] καὶ ἐν 150,4 «Τούτοις δὲ πρότερον Θευδέριχος ὁ τῶν Γότθων βασιλεύς, ἡνίκα καὶ τῆς ξυμπάσης Ἰταλίας ἐκράτει εἰς φόρου ὑπαγωγὴν παραστησάμενος κατήκοον εἶχε τὸ φῦλον». Ἀντὶ εἰς τὴν αὐτῶν χώραν, εἰς τὰ οἰκεῖα λέγει πολλάκις Ἡρόδοτος ἐκ τῶν αὐτῶν ἠθέων, εἰς τὰ αὐτῶν ἤθεα κλ οἷον Β § 93,8. «Ἐπεὰν δὲ πλήρεες γένωνται ἐν τῇ θαλάσσῃ, ἀναπλέουσιν ὀπίσω εἰς τὰ ἤθεα τὰ αὐτῶν ἕκαστοι». Ὡσαύτως καὶ ἐν[3]. Αὖθις Ἀγαθίας ἐν 195,6 λέγει «καὶ οὐδείς, ὅστις τῶν Γερμανῶν εἰς τὰ πάτρια ἐνόστησεν ἤθη, ὅτι μὴ πέντε ἄνδρες ὅτῳ δὴ οὖν τρόπῳ διαδεδρακότες»· καὶ ἀλλαχοῦ ἐν[4]. Τὴν λέξιν πίσυνος, ἧς ποιεῖται χρῆσιν Ἡροδ. παραλαμβάνει καὶ Ἀγαθίας. Ὁ μὲν οὖν Ἡρόδοτος ἐν Θ § 143,10, λέγει «Ἀλλὰ θεοῖσί τε συμμάχοισι πίσυνοί μιν ἐπέξιμεν ἀμυνόμενοι καὶ τοῖς ἥρωσι, τῶν ἐκεῖνος οὐδεμίαν ὄπιν ἔχων ἐνέπρησε τούς τε οἴκους καὶ τὰ ἀγάλματα»· καὶ ἐν[5]. Ὁ δ' Ἀγαθίας ἐν 158,28, οἷον «τούτοις δὲ πίσυνοι τὰς τοιάσδε ἐπεποίηντο συνθήκας»· περαιτέρω πάλιν ἐν[6] τὸ τρίτον πληθυντικὸν πρόσωπον τοῦ παθητικοῦ ὑπερσυντελίκου τῶν ῥημάτων τῶν ἐχόντων οὐρανισκόφωνον ἢ ὀδοντόφωνον χαρακτῆρα, τὸν Ἡρόδοτον μιμούμενος Ἀγαθίας σχηματίζει εἰς «ατο» οἷον «ἐτετάχατο» καὶ οὐχὶ τεταγμένοι ἦσαν. Ἡροδ. ἐν[7] καὶ Α § 80,16. «Ὡς δέ οἱ πάντες

[1] Ἡροδ. Α § 100,1. Ε § 10,8.
[2] Ἀγαθ. 140,20. 210,20. 224,3. 231,21.
[3] Ἡροδ. Α § 15,8. Ε § 14. Β § 93,8.
[4] Ἀγαθ. 232,32. 341,1. 385,8. 391,32.
[5] Ἡροδ. Η § 85,7. Η § 10.5. Ε σελ. 102,6. Α 73,4.
[6] Ἀγαθ. 153,28. 162,31. 196,16. 317,16.
[7] Ἡροδ. Ζ 113,4. Η 86,10. Η 220,1.

διετετάχατο παραίνεσε τῶν μὲν ἄλλων Λυδῶν μὴ φειδομένους κτείνειν πάντα τὸν ἐμποδὸν γιγνόμενον κλ. ...» Ἀγαθ. ἐν 188,31· λέγει «οἱ δὲ ἄνδρες τῶν βαρβάρων ὁπόσοι ἐπὶ φρουρᾷ ἐτετάχατο, ἐπειδὴ ἀμύνεσθαι οὐκ ἠδύναντο, ἔγνωσαν μεθεῖναι τὸ χωρίον»· πρὸς δὲ καὶ ἐν[1]. Πολλάχοῦ πάλιν χρῆται ὁ Ἡρόδοτος καὶ ταῖς λέξεσιν ἀτρεκές, ἀτρεκέως, ἀντὶ ἀκριβές, ἀκριβῶς κλ. ὡς ἐν Η § 60,2. «Ὅσον μὲν νῦν ἕκαστοι παρεῖχον πλήθεος ἀριθμὸν οὐκ ἔχω εἰπεῖν τὸ ἀτρεκές»· καὶ ἐν τοῖς κάτωθι χωρίοις[2]. Ὁμοίως καὶ Ἀγαθίας ἐν 314,3. Ἀεὶ οὖν πλείους εἶναι τοὺς ἐπελθόντας ἢ κατὰ τὸ ἀτρεκὲς ὑποτοπήσαντες, ἅμα μὲν καὶ τῷ ἀδοκήτῳ καταπεπληγμένοι, ἀμύνεσθαι μὲν ἥκιστα διενοοῦντο». Ὡσαύτως χρῆται Ἡρόδοτος καὶ τῷ ῥήματι σίνομαι, οὗ τὴν χρῆσιν ζηλοῖ καὶ Ἀγαθίας πολλάκις· οἷον ὁ μὲν Ἡρόδοτος χρῆται τούτῳ ἐν Θ § 31,10 λέγων «Ταύτην οὖν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο εἰσβαλόντες οἱ βάρβαροι· ἐμήδιζον γὰρ καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι»· ἔτι ἐν[3]. Ὁ δ' Ἀγαθίας ἐν[4] καὶ ἐν 285,12, οἷον «οἵ τε ὑπὲρ τούτων ὀχούμενοι τοξόται λίαν ἐσίνοντο τοὺς ἐπιόντας, οἷα εἰς ὕψος ἠρμένοι καὶ τῷ ὑπερανέχειν εὐσκοπώτατα βάλλοντες». Τῇ λέξει μελεδωνὸς χρῆται Ἡροδ. ἐν Β § 65,19· οἷον «τῷ δ' ἂν ἑλκύσῃ τοῦτο τῇ μελεδωνῷ τῶν θηρίον διδοῖ, ἡ δ' ἀντ' αὐτοῦ τέμνουσα ἰχθῦς παρέχει βορὴν τοῖς θηρίοισι»· ἡ αὐτὴ λέξις ἀπαντᾷ προσέτι καὶ ἐν[5]. Ταύτην παραλαμβάνει καὶ Ἀγαθ. ἐν σελίδι 222,27, ἔνθα λέγει «Βελτάρας τις φυτουργὸς ἀνὴρ καὶ τῶν ἐν τοῖς βασιλείοις κήπων μελεδωνὸς καὶ ἐπιστάτης».

Γον Κατὰ τὰς ἀκολούθους θρησκευτικὰς δοξασίας

§ 8. Ὁ Ἡρόδοτος πιστεύει, ὅτι αἱ ἀδικίαι, ὕβρεις, φό-

[1] Ἀγαθ. 215,12. 224,15. 265,22. 188,31.
[2] Ἡρόδ. Η § 218. Δ, 16,2. Ε § 9,2.
[3] Ἡροδ. Ι § 161,49. Β § 69,1. Δ § 123,3. Ε § 27,8.
[4] Ἀγαθ. 347,14. 188,20. 285,12. 287,30.
[5] Ἡροδ. Β § 65,2. Γ § 61,3. Γ § 63,19.

νοι καὶ λοιπαὶ παρεκτροπαὶ ἔχουσιν ὡς ἄφευκτον ἀποτέλεσμα τὴν τιμωρίαν· οὕτω ἐν Γ § 3,128, ἔνθα ποιεῖται λόγον περὶ τῆς τιμωρίας τινὸς Ὀροίτου, Πέρσου λέγει «οἱ δὲ δορυφόροι, ὡς ἤκουσαν ταῦτα, σπασάμενοι τοὺς ἀκινάκας κτείνουσι παραυτίκα μιν. Οὕτω δὴ Ὀροίτεα τὸν Πέρσην Πολυκράτεος τοῦ Σαμίου τίσεις μετῆλθον». Καὶ Ἀγαθίας ἐν σελίδι 202,13 — 19, ἔνθα διηγεῖται τὴν παρανομίαν τινὸς συγχρόνως δὲ καὶ τὴν αὐτοῦ τιμωρίαν ὧδέ πως ἐκφράζεται: «μετῆλθεν ὅμως ἡ δίκη τὴν τοῦ βαρβάρου παρανομίαν, οἱ γὰρ ἀμφὶ τὸν Ναρσῆν δορυφόροι ἐν ὀργῇ τὸ ἐκείνου ποιησάμενοι θράσος ἐπιτοξάζονται εἰς αὐτὸν καὶ πλήττεται καιρίαν ὁ δείλαιος· πῶς γὰρ οὐκ ἤμελλεν ἄδικόν τι καὶ ἀγεννὲς ἐγχείρημα δράσας;» Ἐν σελίδι αὖθις 195,25 — 28 περὶ τῆς τιμωρίας τῶν ἀδίκων λόγον ποιούμενος Ἀγαθ. λέγει τάδε «εἰ δέ που ἄρα καὶ ἕτεροι πρότερον παραπλήσια τοῖς Φράγκοις πεπόνθασιν. ἀλλ' εὕροις γε ἂν καὶ ἐκείνους ἀδικίας ἕκατι διαφθαρέντας». Καὶ ἐν τῇ ἑπομένῃ σελίδι ἐξακολουθεῖ ἀναφέρων πολλὰ τιμωρηθέντων παραδείγματα ἐν δὲ τῷ τέλει τῆς ἰδίας σελίδος ἐπιφέρει τὰ ἑξῆς «πολλὰ μὲν οὖν καὶ ἕτερα ἔχοι τις ἂν ἀπαριθμεῖσθαι ἀφροσύνης τε καὶ ἀδικίας τοιάδε κυήματα καὶ ὅπως σίνονται τοὺς χρωμένους, πλὴν ἀλλὰ καὶ ταῦτα ἡγοῦμαι ἀποχρώντως ἐν τῷ παρόντι εἰρῆσθαι. Ἀλλαχοῦ πάλιν ὁ Ἡρόδοτος παραδέχεται τὰς τιμωρίας οὐ μόνον μηχανικῶς ὡς ἀναγκαίαν συνέπειαν προηγηθέντων ἀδικημάτων, ἀλλὰ καὶ ὡς ποινὰς παρ' αὐτοῦ τοῦ Θεοῦ πεμπομένας κατὰ τῶν ἀδίκων ἀσεβῶν καὶ τῶν αὐτοῖς ὁμοίων, ὡς τοῦτο ἀποδεικνῦσι τὰ κάτωθι παρατιθέμενα χωρία. Ἐν Β § 120,25—30 λόγου χάριν ὄντος τοῦ λόγου περὶ τῆς ἀδικίας καὶ ὕβρεως, ἣν Πάρις ὁ υἱὸς τοῦ Πριάμου παραβὰς τὸ τῆς φιλοξενίας δίκαιον τῷ βασιλεῖ Μενελάῳ ἐποιήσατο, ἐπάγεται ὡς συμπέρασμα ἰδίαν ἑαυτοῦ κρίσιν ἔχουσαν οὕτω. «Ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι, οὐδὲ λέγουσιν αὐτοῖς τὴν ἀληθείην ἐπίστευον οἱ Ἕλληνες, ὅκως πανωλεθρίῃ ἀπολόμενοι καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι

ποιήσωνται, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν». Ἐν ἄλλῳ πάλιν χωρίῳ Ξέρξου ἐπὶ τὴν Ἑλλάδα στρατεῦσαι σκοπουμένου καὶ ὑπὸ ὀνείρου πρὸς τοῦτο κινηθέντος, ὁ αὐτοῦ θεῖος Ἀρτάβανος πειρᾶται συμβουλαῖς αὐτὸν τοῦ ἐγχειρήματος ἀποτρέψαι, ἀφ' οὗ ὅμως καὶ οὗτος ὑπὸ τοῦ αὐτοῦ ἀπατηλοῦ ὀνείρου περὶ τῆς ἐπιτυχοῦς ἐκβάσεως τοῦ σκοπουμένου ἐβεβαιώθη, λέγει τῷ Ἀρταξέρξῃ τὰ κάτωθι. Η § 18, 12—22. Ἐπιστάμενος ταῦτα γνώμην εἶχον ἀτρεμίζοντά σε μακαριστὸν εἶναι πρὸς πάντων ἀνθρώπων. Ἐπεὶ δὲ δαιμονίη τις γίνεται ὁρμή, καὶ Ἕλληνας, ὡς οἶκε φθορή τις καταλαμβάνει θεήλατος, ἐγὼ μὲν καὶ αὐτὸς τρέπομαι καὶ τὴν γνώμην μετατίθεμαι, σὺ μὲν σήμηνον Πέρσῃσι τὰ ἐκ τοῦ θεοῦ πεμπόμενα, χρᾶσθαι δὲ κέλευε τοῖσι ἐκ σεῦ πρώτοισι προειρημένοισι εἰς τὴν παρασκευήν, ποίεε δὲ οὕτω, ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεήσει οὐδέν». Ἀκριβῶς τὴν αὐτὴν γνώμην περὶ θεηλάτων ποινῶν τοὺς Φράγκους μετελθόντων ἐκφράζει καὶ Ἀγαθίας ἐν σελ. 182, 27—183, 11, ἔνθα λέγει· «Ἀλλ' οὐ μέχρι τοῦδε τὰ τῶν δυστυχημάτων ἐχώρει· ὀλίγῳ γὰρ ὕστερον καὶ νόσος τις λοιμώδης ἔφθειρε τὰ πλήθη ἐξαπιναίως ἐπεισπεσοῦσα· καὶ οἱ μὲν αὐτῶν μοχθηρὸν ἀποκαλοῦντες τὸν περικείμενον σφίσιν ἀέρα αἴτιον ἐκείνου τοῦ πάθους γεγενῆσθαι ἡγοῦντο, οἱ δὲ ὅτι πολέμους τε συχνοὺς καὶ ὁδοιπορίας μακρὰς διανύσαντες, ἀθρόον ἐς τὸ ἁβροδίαιτον μετεβέβληντο, τὴν τῆς διαίτης παραλλαγὴν ᾐτιῶντο, τὴν δέ γε ὡς ἀληθῶς ἀρχήν τε καὶ ἀνάγκην τῆς ξυμφορᾶς, οὐ μάλα διενοῦντο· ἦν δὲ ἄρα, οἶμαι, ἡ ἀδικία καὶ τὸ περιυβρίσθαι πρὸς αὐτῶν τά τε θεῖα ἀφειδῶς καὶ ἀνθρώπεια νόμιμα, αὐτὸς δὴ οὖν ὁ στρατηγὸς καὶ μάλα ἔνδηλος ἦν ὅτι δὴ αὐτὸν θεήλατοι μετῆλθον ποιναί· παραπλὴξ τε γὰρ ἐγεγόνει καὶ ἐλύττα περιφανῶς καθάπερ οἱ ἔκφρονες καὶ μεμηνότες, κλόνος τε αὐτὸν ἐπεῖχε μυρίος καὶ οἰμωγὰς ἀφίει βαρείας». Καὶ ἐν σελίδι 195, 7—9 λόγον ποιούμενος περὶ τῆς τοῖς Γερμανοῖς παρὰ τοῦ θεοῦ πεμφθείσης τιμωρίας λέγει «πῶς

δὲ οὐκ ἂν εἴη ἀρίδηλον ὡς ποινὰς ὑπέσχον τῶν ἀδικημάτων καὶ ὑπερτέρα τις αὐτοὺς μετῆλθεν ἀνάγκη;» Κατὰ ταῦτα μὲν οὖν Ἀγαθίας μιμεῖται Ἡρόδοτον, νῦν δ' ἴδωμεν κατὰ τί τὸν Προκόπιον.

Α^{ον}. Κατὰ τὰς ἀκολούθους διηγήσεις.

§ 9. Προκόπιος ἐν τῷ προοιμίῳ *de ædificiis* ὡς ἐλατήριον κινῆσαν αὐτὸν εἰς τὴν ἐξιστόρησιν τῶν Ἰουστινιανοῦ κτισμάτων τὴν ἐκ τῆς ἱστορίας προκύπτουσαν ὠφέλειαν παριστὰς λέγει· «ἀλλά μοι πολλάκις ἔννοια γέγονεν ὁπόσων τε καὶ πηλίκων ἀγαθῶν αἴτιον ἡ ἱστορία ταῖς πόλεσι γίγνεσθαι εἴωθε». Τὴν γνώμην τούτου μιμούμενος καὶ Ἀγαθίας ἐν τῷ αὐτοῦ προοιμίῳ σελ. 153, 9, ἐκτὸς ἄλλων ὠφελειῶν, ὧν τὴν ἱστορίαν πρόξενον ὑπολαμβάνει, λέγει καὶ τάδε· «ῥᾴδιον μὲν οὖν ἥκιστα ἂν εἴη διεξιέναι ἅπαντα καὶ ἀπαριθμεῖσθαι, ὁπόσων ἀγαθῶν ἡ ἱστορία τὸν βίον ἐμπίπλησι τὸν ἀνθρώπειον»· ἀλλαχοῦ πάλιν ὁ μὲν Προκόπιος σελ. 199, 6, *de bello gothico* περιγράφει τὸν Ναρσῆν ὡς ἑξῆς· «Ὁ δὲ Ναρσῆς οὗτος εὐνοῦχος μὲν ἦν καὶ τῶν βασιλικῶν χρημάτων ταμίας, ἄλλως δὲ ὀξὺς καὶ μᾶλλον ἢ κατ' εὐνοῦχον δραστήριος». Ὁ δ' Ἀγαθίας οὕτω· «Ἦν γὰρ ὁ Ναρσῆς ἔμφρων εἰς τὰ μάλιστα καὶ δραστήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι.... καὶ ταῦτα τομίας γε ὢν καὶ ἐν τοῖς βασιλείοις τρυφερώτερον ἀνατεθραμμένος». Ἐν τῷ Περσικῷ πολέμῳ 25, 1, τὰ περὶ τὸν βασιλέα τῶν Περσῶν Καβάδην, ὁ μὲν Προκόπιος ἱστορεῖ οὕτως· «Μετὰ δὲ Καβάδης βιαιότερον τῇ ἀρχῇ χρώμενος, ἄλλα τε νεώτερα εἰς τὴν πολιτείαν εἰσῆγε καὶ νόμον ἔγραψεν ἐπὶ κοινὰ ταῖς γυναιξὶν μίγνυσθαι Πέρσας· ὅπερ τὸ πλῆθος οὐδαμῇ ἤρεσκε. διὸ δὴ αὐτῷ ἐπαναστάντες παρέλυσαν τῆς ἀρχῆς καὶ δήσαντες ἐν φυλακῇ εἶχον». Ὁ μὲν οὖν Προκόπιος ταῦτα λέγει, Ἀγαθίας δὲ περὶ τοῦ ἰδίου προσώπου ἐν σελίδι 339, 8 διηγεῖται τάδε· «Ἐπὶ τούτῳ δὲ Καβάδης ὁ Περόζου, τῶν Περσικῶν πραγμάτων κρατήσας, πολλοὺς μὲν κατὰ Ῥω-

μαίων πολέμους διήνεγκε, πολλὰ δὲ κατὰ βαρβάρων τῶν προσοικούντων ἔστησε τρόπαια καὶ χρόνον οὐδένα παρῆκε ταραχαῖς καὶ κινδύνοις ἐγκαλινδούμενος ἦν δὲ ἄρα καὶ πρὸς τὸ ὑπήκοον ἀπηνής τε καὶ δυστιθάσευτος καὶ οἷος ἀνακινεῖν τὰ καθεστῶτα ἐς τε τὴν πολιτικὴν δίαιταν καινουργεῖν καὶ παρατρέπειν τὰ πάλαι ξυνειθισμένα· λέγεται δὲ ὡς καὶ νόμον ἔθετο κοινὰ τοῖς ἀνδράσι προκεῖσθαι τὰ γύναια, οὐ κατὰ τὸν Σωκράτους, οἶμαι, καὶ Πλάτωνος λόγον καὶ τὴν ἐν τῷ λόγῳ κεκρυμμένην ὠφέλειαν, ἀλλ' ὥστε τῷ προστιχόντι ἐξεῖναι πρὸς ἣν ἂν ἐθέλοι χωρεῖν καὶ τῆς εὐνῆς μεταλαγχάνειν, εἰ καὶ ἑτέρῳ τω συνοικοῦσα καὶ ἀποκεκριμένη ἐτύγχανε. Καὶ τοίνυν θαμὰ τοῦτο ἐννόμως ἐξημαρτάνετο, χαλεπαινόντων περιφανῶς τῶν δυνατῶν καὶ οὐκ ἀνεκτὸν ἡγουμένων τὴν ἀτιμίαν· ἀλλ' οὗτος γὰρ ὁ αὐτῷ δεσμὸς ἐπιβουλῆς τε καὶ καταλύσεως αἰτιώτατος γέγονε· τοιγάρτοι ξυμφραξάμενοι ἅπαντες καὶ διαναστάντες καθαιροῦσί γε αὐτὸν τῆς ἀρχῆς τῷ ἑνδεκάτῳ ταύτης ἐνιαυτῷ καὶ εἰς τὸ τῆς λήθης ἐμβάλλουσι φρούριον». Τὴν τοῦ Καβάδου ἱστορίαν ἐξακολουθῶν ὁ Προκόπιος ἐν σελίδι 31, 1 διηγεῖται περὶ αὐτοῦ καὶ τάδε· «Καθειρχθέντα δὲ τὸν Καβάδην ἐθεράπευεν ἡ γυνή, εἰσιοῦσά τε παρ' αὐτὸν καὶ τὰ ἐπιτήδεια εἰσκομίζουσα, ἣν δὴ ὁ τῆς εἱρκτῆς ἄρχων πειρᾶν ἤρξατο· ἦν γὰρ τὴν ὄψιν εἰς τὰ μάλιστα εὐπρεπής, ὅπερ, ἐπεὶ ὁ Καβάδης παρὰ τῆς γυναικὸς ἔμαθεν, ἐκέλευεν ἐνδιδόναι ἑαυτὴν τῷ ἀνθρώπῳ ὅτι βούλοιτο χρῆσθαι. οὕτω δὲ τῇ γυναικὶ εἰς εὐνὴν ξυνελθὼν ὁ τοῦ φρουρίου ἄρχων, ἠράσθη τε αὐτῆς ἔρωτα ἐξαίσιον οἷον, καὶ ἀπ' αὐτοῦ ξυνεχώρει πρὸς τὸν ἄνδρα τὰς εἰσόδους ποιεῖσθαι ὅπη ἂν αὐτῇ βουλομένῃ εἴη καὶ αὖθις ἐνθένδε ἀπαλλάσσεσθαι οὐδενὸς ἐμποδὼν ἱσταμένου. κ.λ... οὕτω μὲν Καβάδης ἀπηλλάττετο τοῦ δεσμωτηρίου». Τὴν τοιαύτην τοῦ Καβάδου ἐκ τοῦ φρουρίου τῆς λήθης ἀπόδρασιν Ἀγαθίας διηγεῖται ὧδε· «Ἀλλ' ὁ Καβάδης οὐκ εἰς μακρὰν ἀποδράς, εἴτε τῆς γαμετῆς αὐτῷ ξυλλαβομένης τοῦ δόλου, ὡς Προκόπιός φησιν, καὶ τὸν ὑπὲρ ἐκείνου θάνατον ἑλο-

μένης, εἴτε καὶ ἄλλῳ τρόπῳ χρησάμενος, ἀποδρὰς δὲ οὖν ὅμως καὶ ὑπεκδὰς τοῦ δεσμωτηρίου, ᾤχετο παρὰ τοὺς Νεφθαλίτας, καὶ γίγνεται τοῦ βασιλέως ἐκείνων ἱκέτης... ὀλίγῳ δὲ ὕστερον καὶ τὴν θυγατέρα κατεγγυᾷ πρὸς γάμον τῷ ξένῳ καὶ στρατιὰν αὐτῷ πρὸς τὴν κάθοδον ἀποχρῶσαν παραδοὺς ἔστειλεν αὖθις τό τε ἀντιστατοῦν καθελοῦντα καὶ τὴν προτέραν εὐδαιμονίαν ἀνακτησάμενον». Τὰ ἀνωτέρω, περὶ τῆς εἰς Ναφθαλίτας καταφυγῆς τοῦ Καβάδου ὡς καὶ τὸν αὐτοῦ γάμον ἐκτίθησιν ὁ Προκόπιος ἐν σελίδι 32, 6 ὧδε· «Καβάδης δὲ λαθὼν ἅπαντας ξὺν τῷ Σέσσῃ εἰς Οὔνους τοὺς εὐθαλίτας ἀφίκετο, καὶ αὐτῷ τὴν παῖδα γυναῖκα ὁ βασιλεὺς γαμετήν, οὕτω τε στράτευμα λόγου πολλοῦ ἄξιον ἅτε κηδεστῇ ἐπὶ Πέρσας ξυνέπεμψε. Τούτῳ τῷ στρατῷ Πέρσαι ὑπαντιάζειν οὐδαμῶς ἤθελον, ἀλλ' ἄλλος ἄλλῃ εἰς φυγὴν ὥρμηντο». Νῦν φέρε ἴδωμεν πῶς Προκόπιος καὶ πῶς ὁ τοῦτον μιμούμενος Ἀγαθίας τὰ περὶ τῆς ὑπὸ Ἰουστινιανοῦ ἀνοικοδομήσεως τοῦ ναοῦ τῆς τοῦ θεοῦ Σοφίας διηγεῖται. καὶ πρῶτον ἀναγράψωμεν τὰ ὑπὸ Προκοπίου ἐν σελ. 173 *de ædificiis* ἱστορούμενα καὶ ἔχοντα οὕτω· «Ἄνδρες ἀγελαῖοί ποτε καὶ ὁ συρφετὸς ὄχθος Ἰουστινιανῷ βασιλεῖ ἐν Βυζαντίῳ ἐπαναστάντες τὴν Νίκα καλουμένην στάσιν εἰργάσαντο, ἧπερ μοι ἀπαρακαλύπτως ἀκροβολογουμένῳ ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδιήγηται λόγοις. Ἐνδεικνύμενοι δὲ ὡς οὐκ ἐπὶ τὸν βασιλέα μόνον, ἀλλ' οὐδέν τι ἧσσον ἐπὶ τὸν θεόν, ἅτε ἀποφράδες, τὰ ὅπλα ἀντῆραν, ἐμπρῆσαι τῶν χριστιανῶν τὴν Ἐκκλησίαν ἐτόλμησαν, ἐπεχώρει δὲ αὐτοῖς ὁ θεὸς διαπράξασθαι τὸ ἀσέβημα, προειδὼς εἰς ὅσον τὸ κάλλος τοῦτο τὸ ἱερὸν μεταστήσεσθαι ἔμελλεν. Ἡ μὲν οὖν Ἐκκλησία ἐξηνθρακωμένη τότε ξύμπασα ἔκειτο, βασιλεὺς δὲ Ἰουστινιανὸς τοιαύτην ἀποτετόρνευται οὐ πολλῷ ὕστερον ὥστε, εἰ τῶν χριστιανῶν τις ἐπείθετο πρότερον εἰ βουλομένοις αὐτοῖς διολωλέναι τὴν ἐκκλησίαν εἴη καὶ τοιάν δε γενέσθαι, δείξας τι αὐτοῖς τῶν νῦν φαινομένων ἐκτύπωμα, δοκοῦσιν ἂν μοι ὡς συντομώτατα εὔξασθαι πεπονθυῖαν σφίσι τὴν ἐκκλησίαν θεά-

σασθαι, ὅπως δὴ αὐτοῖς εἰς τὸ παρὸν μεταβάλοιτο σχῆμα· ὁ μὲν οὖν βασιλεὺς ἀφροντιστήσας χρημάτων ἁπάντων εἰς τὴν οἰκοδομὴν σπουδῇ ἵετο, καὶ τοὺς τεχνίτας ἐκ πάσης γῆς ἤγειρεν ἅπαντας. Ἀνθέμιος δὲ Τραλλιανός, ἐπὶ σοφίᾳ τῇ καλουμένῃ μηχανικῇ λογιώτατος, οὐ μόνον τῶν κατ' αὐτὸν ἁπάντων, ἀλλὰ καὶ τῶν αὐτοῦ προγεγενημένων πολλῷ τῇ βασιλέως ὑπούργει σπουδῇ τοῖς τεκταινομένοις τὰ ἔργα ῥυθμίζων, τῶν τε γενησομένων προδιασκευάζων ἰνδάλματα, καὶ μηχανοποιὸς ἕτερος σὺν αὐτῷ Ἰσίδωρος ὄνομα Μιλήσιος γένος ἔμφρων τε ἄλλως καὶ πρέπων Ἰουστινιανῷ ὑπουργεῖν βασιλεῖ». Εἶτα δὲ τοῖς ἄνω παραθέσωμεν καὶ τὰ ὑπὸ Ἀγαθίου ἐν σελ. 361, 9 ἐξιστορούμενα· «ὁ δὲ βασιλεὺς πολλὰ τῶν οἰκοδομημάτων τὰ μὲν σαθρὰ καὶ ἀσθενῆ γεγενημένα, ἔνια δὲ καὶ ἤδη πεπτωκότα, ἐπανορθοῦν ἐπειρᾶτο· ἐπεφρόντιστο δὲ οἱ ἐς τὰ μάλιστα ὁ μέγιστος τοῦ θεοῦ νεώς· τοῦτον δὲ πρότερον ἐμπρησθέντα ὑπὸ τοῦ δήμου σφόδρα περιφανῆ καὶ θαυμάσιον ἠλίκον ἐκ βάθρων αὐτῶν καὶ κρηπίδων ἀνεδομήσατο, μεγέθους τε ὑπερβολῇ καὶ σχήματος εὐπρεπείᾳ καὶ ποικιλίᾳ μετάλλων ἐπικοσμήσας ἤρεψε δ' αὐτὸν ἐκ πλίνθου ὀπτῆς καὶ τιτάνου, πολλαχοῦ καὶ σιδήρῳ ξυνδήσας, ξύλοις τε ἥκιστα χρησάμενος ὡς ἂν μηκέτι εὐκολώτατα πυρπολοῖτο. Ἀνθέμιος δὲ ἦν οὗτος ἐκεῖνος, οὗ δὴ ἀρτίως ἐπεμνήσθην, ὁ ἕκαστα μηχανησάμενος καὶ δημιουργήσας». Ταῦτα μὲν καὶ Ἀγαθίας λέγει, ὁ δὲ Προκόπιος ἐξακολουθῶν τὴν αὐτοῦ περιγραφὴν ἐν σελ. 175, 5 *de ædificiis*, διηγεῖται καὶ τὰ ἑξῆς· «Καὶ τὸ μὲν τοῦ νεὼ πρόσωπον (εἴη δ' αὐτοῦ τὰ πρὸς ἀνίσχοντα ἥλιον, ἵνα δὴ τῷ θεῷ ἱερουργοῦσι τὰ ἄρρητα) τρόπῳ τοιῷδε δεδημιούργηται. οἰκοδομία τις ἐκ γῆς ἀνέχει οὐκ ἐπ' εὐθείας πεποιημένη, ἀλλὰ ἐκ τῶν πλαγίων ὑπεσταλμένη κατὰ βραχὺ καὶ κατὰ τὰ μέσα ὑποχωροῦσα, ἐπὶ σχήματι κατὰ ἥμισυ τὸ στρογγύλον ἰοῦσα, ὅπερ οἱ περὶ τὰ τοιαῦτα σοφοὶ ἡμικύλινδρον θαυμάζουσιν, εἰς ὕψος ἀπότομον ἐπανέστηκεν· ἡ δὲ τοῦ ἔργου τούτου ὑπερβολὴ εἰς σφαίρας τε τεταρτημόριον ἀ-

ποκέκριται, ὕπερθέν τε μηνοειδές τε αὐτῇ ἕτερον τοῖς προσεχέσι τῆς οἰκοδομίας ἐπῆρται, τῇ μὲν εὐπρεπείᾳ θαυμάσιον, τῷ δὲ σφαλερῷ τῆς συνθέσεως δοκοῦντι εἶναι φοβερὸν ὅλως· δοκεῖ γὰρ οὐκ ἐν βεβαίῳ ἐπῃωρεῖσθαι, ἀλλ' ἐπικινδύνως τοῖς ἐνθάδε οὖσι μετεωρίζεσθαι, καίτοι διαφερόντως ἐν τῷ βεβαίῳ τῆς ἀσφαλείας ἐστήρικται». Εἶτα ἐν σελίδι 177,17 προστίθησι τάδε· «Μηχαναῖς τε πολλαῖς βασιλεύς τε Ἰουστινιανὸς καὶ Ἀνθέμιος ὁ μηχανοποιὸς σὺν τῷ Ἰσιδώρῳ, οὕτω δὴ μετεωριζομένην τὴν Ἐκκλησίαν ἐν τῷ ἀσφαλεῖ διεπράξαντο εἶναι». Ταῦτα μὲν οὖν ἐστι τὰ Προκοπίῳ εἰρημένα, τὰ δ' Ἀγαθίᾳ περὶ τῆς αὐτῆς ὑποθέσεως τάδε· σελ. 361, 23· Τότε δὲ αὐτὸν ὑπὸ τοῦ κλόνου τὸ μεσαίτατον μέρος τῆς ὀροφῆς καὶ ἅπαντα ὑπερβάλλον ἀποβεβληκότα ἐπεσκεύασέ τε αὖθις ὁ βασιλεὺς βεβαιότερον καὶ ἐπὶ μεῖζον ὕψος ἐξῆρε, καίτοι Ἀνθέμιος μὲν ἐκ πλείστου ἐτεθνήκει, Ἰσίδωρος δὲ ὁ νέος καὶ οἱ ἄλλοι μηχανοποιοὶ πρότερον ἐν ἑαυτοῖς ἀναθεωρήσαντες τὸ σχῆμα καὶ τῷ σῳζομένῳ τὸ πεπονθὸς ὁποῖόν τε ἦν καὶ εἰς ὅ,τι δήπου ἡμάρτητο ἐπιφρασάμενοι τὴν μὲν ἑῴαν τε καὶ ἑσπερίαν ἀψῖδα, οὕτω μένειν κατὰ χώραν ἐφῆκαν. Τῆς δὲ ἀρκτῴας τε καὶ τὴν ἐπὶ τοῦ κυρτώματος οἰκοδομίαν πρὸς τὰ ἔνδον παρατείναντες καὶ εὐρυτέραν ἠρέμα ποιησάμενοι ὡς μᾶλλον ἁρμοδιώτατα ταῖς ἄλλαις ξυνιενευκέναι καὶ ὁμολογεῖν τὴν ἰσόπλευρον ἁρμονίαν περιστεῖλαι ταύτῃ δεδύνηται τὴν τοῦ κενώματος ἀμετρίαν καὶ ὑποκλέψαι βραχὺ τῆς ἐκτάσεως μέρος, ὁπόσον ἑτερόμηκες ἀπετελεῖτο σχῆμα, οὕτω τε ἐπ' αὐτῶν ἥδρασαν πάλιν τὸν ἐν μέσῳ ὑπερανέχοντα, εἴτε κύκλον, εἴτε ἡμισφαίριον, εἴτε ὅτῳ δὴ οὖν ὀνόματι παρ' αὐτοῖς ἐπικεκλημένον καὶ γέγονεν εἰκότως ἰθύτερος μὲν καὶ εὐεπίστροφος καὶ πανταχόθεν τῇ γραμμῇ ἐξισάζων, στενώτερος δὲ καὶ ὀξυτενὴς καὶ οὐχ οἷον λίαν ἐκπλήττειν τοὺς θεωμένους, ὡς πάλαι, πολλῷ δὲ ὅμως πλέον ἐν τῷ ἀσφαλεῖ βεβηκέναι». Νῦν οὖν ἰδόντες πῶς Ἀγαθίας μιμεῖται Προκόπιον κατὰ τὴν περιγραφὴν τοῦ ναοῦ τῆς τοῦ θεοῦ Σοφίας μεταβαίνομεν εἰς τὸν

Γοτθικὸν πόλεμον, ἐν ᾧ ἐν σελ. 476, 20 τὰ κατὰ Κιμμερίους διηγούμενος ὁ Προκόπιος παρεμβάλλει καὶ τὸ ἑξῆς ἐπεισόδιον. «Προϊόντος δὲ τοῦ χρόνου, φασίν, εἴπερ ὁ λόγος ὑγιής ἐστι, τῶν μὲν Κιμμερίων [1] νεανίας τινὰς ἐν κυνηγεσίῳ διατριβὴν ἔχειν, ἔλαφον δὲ μίαν πρὸς αὐτῶν φεύγουσαν εἰς τὰ ὕδατα εἰσπηδῆσαι ταῦτα· τοὺς δὲ νεανίας εἴτε φιλοτιμίᾳ εἴτε φιλονικίᾳ τινὶ ἐχομένους ἢ καίτι δαιμόνιον αὐτοὺς κατηνάγκασε τῇ ἐλάφῳ ἐπισπέσθαι ταύτῃ, μηχανῇ τε αὐτῆς μεθίεσθαι οὐδεμιᾷ, ἕως τε ξὺν αὐτῇ εἰς τὴν ἀντιπέρας ἀκτὴν ἵκοντο· καὶ τὸ μὲν διωκόμενον, ὅ,τι ποτ' ἦν εὐθὺς ἀφανισθῆναι· (δοκεῖ γάρ μοι ὡς οὐδὲ ἄλλου του ἕνεκα ἐνταῦθα ἐφάνη, ὅτι μὴ τοῦ γενέσθαι κακῶς τοῖς τῆδε ᾠκημένοις βαρβάροις)· τοὺς δὲ νεανίας τοῦ μὲν κυνηγεσίου ἀποτυχεῖν, μάχης δὲ ἀφορμὴν καὶ λείας εὑρέσθαι· εἰς ἤθη γὰρ τὰ πάτρια ὅτι τάχιστα ἐπανήκοντες ἔκδηλα πᾶσι Κιμμερίοις πεποίηνται, ὅτι δὴ ταύτῃ βατὰ σφίσι τὰ ὕδατα εἴη. Κατὰ μίμησιν τοῦ Προκοπίου ταὐτὰ ἐξιστορῶν καὶ Ἀγαθίας ἐν σελ. 365, 1 λέγει· «Οἱ Οὖνοι τὸ γένος τὸ μὲν παλαιὸν κατῴκουν τῆς Μαιώτιδος λίμνης τὰ πρὸς ἀπηλιώτην ἄνεμον, καὶ ἦσαν τοῦ Τανάϊδος ποταμοῦ ἀρκτικώτεροι, καθ' ἅπερ καὶ τὰ ἄλλα βάρβαρα ἔθνη, ὁπόσα ἐντὸς Ἰμαίου ὄρους ἀνὰ τὴν Ἀσίαν ἐτύγχανον ἱδρυμένα· οὗτοι δὲ ἅπαντες κοινῇ Σκύθαι καὶ Οὖνοι ἐπωνομάζοντο· ἰδίᾳ δὲ κατὰ γένη, τὸ μέν τι αὐτῶν Κοτρίγουροι, τὸ δὲ Οὐτίγουροι, ἄλλοι δὲ Θαλτίζουροι, καὶ ἄλλοι Βουρούγονδοι καὶ ἄλλοι ὡς ἂν αὐτοῖς πάτριον καὶ εἰθισμένον· γενεαῖς δὲ πολλαῖς ὕστερον διέβησαν εἰς τὴν Εὐρώπην, εἴτε δὴ ὡς ἀληθῶς ἐλάφου τινὸς κατὰ τοῦτο δὴ τὸ θρυλλούμενον τὰ πρῶτα ἡγησαμένης, εἴτε καὶ ἀλλοίᾳ χρησάμενοι τύχῃ καὶ τὴν ἐκροὴν

[1] Σημ. Οἱ Κιμμέριοι τὸ πάλαι Οὖνοι ἐκαλοῦντο, ὡς Προκ. ἐν *bello Gothico* σελ. 475,19 καὶ ἑξῆς διηγεῖται. Εἷς τις τῶν αὐτῶν βασιλέων ἐγέννησε παῖδας δύο διανεμηθέντας ἐξ ἴσου τὴν βασιλείαν, καὶ ὧν ὁ μὲν Οὐτουργοὺρ ἐκαλεῖτο, οἱ δὲ ὑπ' αὐτοῦ ἀρχόμενοι Οὐτούργουροι· τῷ δὲ ἑτέρῳ ἦν ὄνομα Κουτουργούρ, οἱ δ' ὑπήκοοι τούτου Κουτούργουροι ἐκλήθησαν.

τῆς λίμνης τὴν εἰς τὸν Εὔξεινον Πόντον φερομένην, ἄπορον τέως δοκοῦσαν, τότε δὴ ὅτῳ δὴ οὖν τρόπῳ διαπεραιωθέντες, ἀλώμενοι δὲ ὅμως ἀνὰ τὴν ὀθνείαν, πλεῖστα ὅσα τὸ ἰθαγενὲς ἐλυμήναντο, ἀπροσδόκητα προσπεσόντες, ὡς καὶ τοὺς πρότερον οἰκήτορας ἀπελάσαντας αὐτοὺς τὴν ἐκείνων κατέχειν· ἤμελλον δ' ἄρα οὐκ ἐπὶ μακρότατον διαμένειν, ἀλλὰ πρόρριζοι τὸ λεγόμενον ἀπολεῖσθαι». Ἐν σελ. 296, 14 *de ædif.* περιγράφων ὁ Προκόπιος τὴν Ἰουστινιανοῦ πατρίδα λέγει τὰ ἀκόλουθα· «Ἐν Δαρδάνοις που τοῖς Εὐρωπαίοις, οἳ δὴ μετὰ τοὺς Ἐπιδαμνίων ὅρους ᾤκηνται, τοῦ φρουρίου ἄγχιστα, ὅπερ Βεδεριανὰ ἐπικαλεῖται χωρίον Ταυρήσιον ὄνομα ἦν, ἔνθεν Ἰουστινιανὸς βασιλεὺς ὁ τῆς οἰκουμένης οἰκιστὴς ὥρμηται. Τοῦτο μὲν τὸ χωρίον ἐν βραχεῖ τειχισάμενος κατὰ τὸ τετράγωνον σχῆμα καὶ γωνίᾳ ἑκάστῃ πύργον ἐνθέμενος τετραπυργίαν εἶναί τε καὶ καλεῖσθαι πεποίηκε· παρ' αὐτὸ[1] δὲ μάλιστα τὸ χωρίον πόλιν ἐπιφανεστάτην ἐδείματο, ἥνπερ Ἰουστινιανὴν ὠνόμασε πρίμαν (πρώτη δὲ τοῦτο τῇ Λατίνων φωνῇ δύναται). Ταῦτα τῇ θρεψαμένῃ τροφεῖα ἐκτίνων». Καὶ Ἀγαθ. ἐν σελ. 384, 3 περὶ τοῦ αὐτοῦ ἀντικειμένου ἐκφράζεται ὧδε· «Πατρὶς δὲ ἦν αὐτῷ πόλις Ἰλλυρική. Βεδερίανα μὲν ἐκ παλαιοῦ ὀνομαζομένη, ὕστερον δὲ πρώτη Ἰουστινιανὴ μετακληθεῖσα· Ἰουστινιανὸς γὰρ ὁ βασιλεύς, ἅτε δὴ κατ' αὐτὴν εἰς φῶς προηγμένος, ἐκόσμησέ τε εἰκότως τὴν πατρίδα ἔργοις ποικίλοις καὶ ἐξ ἀφανοῦς εὐδαίμονα ἐξειργάσατο καὶ τῆς οἰκίας αὐτῇ μεταδέδωκε προσηγορίας». Ἄλλη ὁμοιότης μεταξὺ τῶν ἄνω ἐστὶ καὶ αὕτη· Ὅτε Προκόπιος καὶ Ἀγαθίας ἐκλέγουσιν ὡς ἥρωας τῆς ἑαυτῶν συγγραφῆς ἀνὰ ἓν κυρίως πρόσωπον, ὁ μὲν τὸν Ναρσῆν. ὁ δὲ τὸν Βελισσάριον, καὶ περὶ τούτους οὕτως εἰπεῖν στρεφόμενοι ἐξυφαίνουσι τὴν αὐτῶν ἱστορίαν. Πρὸς δὲ ὁ Προκόπιος πολλαχοῦ τῆς αὐτοῦ ἱστορίας, ταύτην ἐπαγωγὸν καταστῆσαι βουλόμενος παρεμβάλλει πολλὰ λεπτολόγα ἐπει-

[1] Σημ. κάλλιον ἂν ἔλεγε «παρ' αὐτῷ δὲ μάλιστα τῷ χωρίῳ».

σόδεια, οὐδεμίαν ἢ λίαν ἀσθενῆ σχέσιν μετὰ τῆς αὐτοῦ ἱστορίας ἔχοντα. Κατὰ τὸν αὐτὸν τρόπον καὶ Ἀγαθίας παρεμβάλλει τοιαῦτα καὶ δὴ ἐκτενέστερα τῶν τοῦ Προκοπίου. Πολλάκις πάλιν ἀμφότεροι εἰσάγουσι διαφόρους δημηγορίας καὶ δὴ τεχνικὰς τοιαύτας ἐν τοῖς στόμασι ἀπαιδεύτων ἀνδρῶν, ἁπλῶν στρατιωτῶν, οὐχὶ δὲ σπανίως καὶ βαρβάρων ἀρχόντων.

B^ον Κατὰ τὰς ἀκολούθους χρήσεις

§ 10. Πολλαχοῦ τῶν αὐτοῦ ἔργων ὁ Προκόποιος ποιεῖται χρῆσιν τοῦ ἀορίστου β' τοῦ γιγνώσκω, ἔγνων συντάσσων τοῦτον μετ' ἀπαρεμφάτου ἐπὶ τῆς σημασίας τοῦ ἀποφασίζειν, ὡς ἐν *bello Persico* σελίδι 36,14, ἔνθα λέγει «Καβάδης δὲ τοῖς παροῦσιν ἀπορούμενος τὴν προεδρείαν διαλύειν ἔγνω καὶ τὸ στρατόπεδον ἀναχωρεῖν είς τὴν ὑστεραίαν ἐπήγγελλε». Ἐπὶ τῆς αὐτῆς σημασίας ἀπαντᾷ ἔτι ἐν[1]. Τὴν τοιαύτην σύνταξιν μιμεῖται καὶ Ἀγαθίας ἐν[2] καὶ ἐν 157,3, οἷον « Επειδὴ πολέμῳ καὶ ἐπιδρομαῖς ἑλεῖν δήπου τὸ χωρίον ἀδύνατα ἦν, ἔγνω μὴ ἁπάσῃ τῇ στρατιᾷ ἐν τοῖσδε διαπονεῖσθαι, ἀλλ' ἐς Φλωρεντίαν καὶ Κεντουκέλλας καὶ ἄλλα ἄττα πολίσματα τῆς Τουσκίας χώρας εὐθὺς ἀφικέσθαι». Ὁμοίως ἀπαντᾷ παρὰ Προκ. ὁ ἀόριστος β' τοῦ ῥήματος ξυμβαίνει μετ' ἀπαρεμφάτου συντεταγμένος ἐπὶ τῆς σημασίας τοῦ ἐγένετό τι ἢ συνέβη, οἷον ἐν *bello Per.* σελ. 182,8 «ἐνταῦθα οἱ μὲν Ρωμαῖοι στρατιῶται καρτερῶς ἀμυνόμενοι τῶν πολεμίων τινὰς ἔκτεινον, τῷ δὲ Χοσρόῃ εὐτύχημα μέγα τῷ τῶν πολιορκουμένων ἀξυνέτῳ ξυνέβη γενέσθαι»· ἔτι ἐν[3]. Ὁ αὐτὸς ἀόριστος ὁμοίως συντεταγμένος ἐπὶ τῆς σημασίας τοῦ συνέβη ἢ τυχαίως ἐγένετο, εὑρίσκεται καὶ παρ' Ἀγαθίᾳ ἐν σελίδι 134,22, οἷον, «ἐπειδὴ δὲ ἐν τῷ

[1] Προκ. *bello Per.* 157,10. *Wand* 496,20. *Goth.* 309,9. *de aed* 249,20.

[2] Ἀγαθ. 132,13. 157,3. 311,25. 345,18. 213,18. 152,20.

[3] Προκοπ. *bel. W.* 409,19. *W.* 403,11. *Goth.* 626,18.

κατ'ἐμὲ χρόνῳ ξυνέβη μεγάλους μὲν πολέμους πολλαχοῦ τῆς οἰκουμένης ἀπροσδοκήτως ξυρραγῆναι . . . . .» Πρὸς δέ[1]. Ἀλλαχοῦ χρῆται ὁ Προκ. τῆ φράσει «οὐκ ἀποτρόπου» μὲ τὴν σημασίαν τοῦ οὐκ ἀκαταλλήλως, οὐκ ἀτόπως κλ. οὕτως ἐν σελίδι 419,18 τοῦ *bel. Wand.* λέγει «Κακ'ἐκεῖνο δὲ οἶμαι, οὐκ ἀποτρόπου εἰρήσεται, ὡς ἢν τῶν πολεμίων κρατήσωμεν τὸ πλεῖστον τῆς νίκης ὑμεῖς ἀναδήσεσθαι μέρος»· καὶ ἐν[2]. Τοῦτον μιμεῖται Ἀγαθίας ἐν σελίδι 135,1, οἷον «τοιγάρτοι ἔδοξέ μοι οὐκ ἀποτρόπου εἶναι καὶ τοῦ ζυγγράφειν ἀμωσγέπως ἀποπειρᾶσθαι»· καὶ ἐν τοῖς ἑξῆς[3]. Ἐκτὸς τῶν ἄνω ὁ Προκόπιος ποιεῖται χρῆσιν ἢ μᾶλλον κατάχρησιν τῆς μετ'εὐτικῆς συντάξεως τοῦ ἐφ'ῷ ἐπὶ τῷ ὅρῳ, συμφωνίᾳ ἢ συνθήκῃ, ὡς ἐν *bol Pers.* σελ. 51,7 λέγει «ἔδοξε οὖν αὐτῷ ἄριστον εἶναι τόν τε πόλεμον καὶ τὰς τοῦ πολέμου αἰτίας διαλῦσαι Ρωμαίοις, ἐφ' ᾧ Χοσρόης παῖς εἰποιητὸς Ἰουστίνῳ βασιλεῖ γένοιτο»· καὶ ἐν[4]. Τὴν χρῆσιν ταύτην ἀπομιμεῖται καὶ Ἀγαθίας ἐν σελίδι 140,20, οἷον «Οἵτε περισωθέντες τῶν Γότθων σπονδὰς τίθενται πρὸς τὸν Ναρσῆν, ἐφ'ᾧ τὴν μὲν οἰκείαν ἀδεῶς νέμοιτο χώραν, βασιλεῖ δὲ τῶν Ρωμαίων κατήκοοι τὸ λοιπὸν ὄντες διατελοῖεν»· ὁμοίως[5]. παρὰ Προκοπίῳ *de bello Goth.* 394,15 ἀπαντᾷ ἡ φράσις «Ἀλλὰ ταῦτα μὲν ὅπῃ βοσιλομένῳ εἴη ταύτῃ δοκείτω τε καὶ λεγέτω, ἐγὼ δὲ ὅθεν περ ἐξέβην ἐπάνειμι»· καὶ ἐν[6]. Τῇ ἰδίᾳ χρῆται καὶ Ἀγαθ. ἐν σελ. 152,8, ἐχούσῃ ὧδε «Τούτων μὲν οὖν πέρι ὥς πῃ ἑκάστῳ φίλον, τῇδε οἰέσθω, ἐμοὶ δὲ ᾗπερ ὁ πρότερος ἐφέρετο λόγος ταύτῃ ἰτέα». Περαιτέρω ἔτι ἐν[7]. Εὑρίσκεται

[1] Ἀγαθ. 144,5. 229,11. 135.

[2] *bel. W.* σελ. 469,11. *aed.* 474,22. *aed.* 210,1. *de bel Goth.* 259,12. *arc.* 257,3.

[3] Ἀγαθ. 144,5. 222,11. 135,1.

[4] Προκ. *Wand* 503,20. *Goth.* 19,7. *Cat.* 237,18 κλ.

[5] Ἀγαθ. 146,2. 174,29. 264,23.

[5] Προκ. *de bello Goth.* 480,8. *Hist. arc.* 36,10. *Pers.* 194,7. 250, 4. 209,4.

[7] Ἀγαθ. 186,4. 361,3.

ἔτι ἐν τῷ Προκοπίῳ *de bello Pers.* σελ. 620,15, ἡ ἑξῆς φράσις «Τῆς εὐθείας μὲν τὰ ἔσχατα τῆς ἀριστερᾶς ἢ ἔνερθεν ἦν τῆς ὀρθῆς κεραίας μέχρι ἐς τὸν λόφον, ὃς ταύτῃ ἀνέχει, Βούζης εἶχε ξὺν ἱππεῦσι πολλοῖς καὶ Φάρας Ἔρουλος ξὺν ὁμογενέσι τριακοσίοις»· ὡσαύτως ἐν[1]. Τῇ αὐτῇ φράσει «λόφος ἀνέχει κλ.» χρῆται καὶ Ἀγαθίας ἐν σελίδι 153,13, οἷον «Ἐπὶ γὰρ τῇ ἀκτῇ ὁ λόφος ἀνέχει, ὡς καὶ ἀμφ' αὐτὸν δήπου τὸν πρόποδα ροχθεῖν τε καὶ περικλᾶσθαι τὸ ρόθιον»· αὖθις ἐν[2]. Παρὰ Προκοπίῳ *de bello Pers.* 118,18 καὶ[3] ἀπαντᾷ ἡ ἑξῆς φράσις «Καὶ ὁ μὲν αὐτίκα μάλα, ἐπειδὰν τὰ ἐν ποσὶ διάθηται ἕψεσθαι ὡμολόγει». Οὕτω καὶ Ἀγαθίας ἐν[4] καὶ ἐν σελ. 157,23 τοῦτον μιμούμενος λέγει. «Ἕως αὐτὸς τὰ ἐν ποσὶν ἅπαντα ᾗ βούλοιτο διαθείη». Ἀλλαχοῦ πάλιν ὁ Προκόπιος ποιεῖται χρῆσιν τῆς φράσεως «οὐδενὶ ἀντὶ ἀκόσμως κόσμῳ» οἷον ἐν *bello Pers.* 18,16 «Ἀφ' οὗ δὴ αὐτόν τε καὶ τὸ τῶν Περσῶν γένος κόσμῳ οὐδενὶ διαφθείροιεν, ἐνδώσειν δὴ καὶ ὣς τὴν σωτηρίαν Οὔνοις αὐτοῖς ἐπηγγέλλετο»· αὖθις ἐν[5]. Ταύτην μιμεῖται καὶ Ἀγαθίας ἐν 181,25 λέγων «Οὕτω δὴ οὖν τῶν πλείστων διαφθειρομένων καθορῶντες οἱ ἄλλοι ἔφυγον οὐδενὶ κόσμῳ»· πρὸς δὲ καὶ ἐν[6]. Ὡσαύτως ὁ Προκόπιος ἐν *bello Pers.* 114,21 καὶ[7] παρὰ τὴν δόκιμον ἐκφορὰν τοῦ ποιητικοῦ αἰτίου δι' ἁπλῆς δοτικῆς, μόνον ἐπὶ χρόνου παρακ. ὑπερσυντ. καὶ τετ. μέλλοντος, ἐκφέρει τοῦτο δι' ἁπλῆς δοτικῆς καὶ ἐπὶ παθητ. ἀορίστου, οἷον ἐν *bel. Per.* 114, ὡς ἔφθην εἰπών, λέγει «Καὶ ἦν γὰρ αὐτοῖς πολύς τις πόθος τῆς Ζάμου ἀρχῆς, ἣν δὴ ὁ νόμος, αἰτία τῆς τοῦ ὀφθαλμοῦ λώβης, ὥσπερ

[1] Προκοπ. *de bello Pers.* 168,16. *Goth.* 189,15.

[2] Ἀγαθ 157,23. 200,22.

[3] Προκοπ. *Goth.* 431,21. *Wand.* 408,16. *Goth* 431,21.

[4] Ἀγαθ. 178,12. 263,6. 271,23.

[5] Προκοπ. *bello* W. 331,21. 385,16. *Goth.* 33,15. 139,16. *Hist. arch.* 47,2.

[6] Ἀγαθ. 163,16. 245,12. 181,25.

[7] Προκοπ. *Wand.* 522,98. 529,8. *P.* 18,16. *W.* 331,21. *arch.*47,2

μοι ἐρρήθη, ἐκώλυε». Αὖθις Ἀγαθ. ἔν τε [1] καὶ ἐν σελίδι 164,26, λέγει· «Τὰ δὲ τῶν Ρωμαίων στρατεύματα, ὧν δὴ Ἰωάννης τε ὁ Βιταλιανοῦ, ἥπερ μοι ἤδη ἐρρήθη, καὶ Ἀρταβάνης ἡγεῖτο». Τὸ βούλομαι, ἐβουλόμην, ἐβούλετο κ.λ. ὁ Προκ. ἐκφέρει περιφραστικῶς διὰ τῆς μετοχῆς τοῦ βούλομαι καὶ ἐνεστῶτος, παρατατικοῦ, ἢ εὐκτικῆς τοῦ ῥήματός εἰμι, ὡς ἔστι μοι βουλομένῳ, οὐκ ἦν αὐτῷ βουλομένῳ κ.λ. τὴν τοιαύτην χρῆσιν ζηλοῖ καὶ Ἀγαθίας πολλαχοῦ. Ὁ μὲν Προκόπιος χρῆται ταύτῃ ἐν *bel Pers.* 19, 1· «Οἱ δὲ μάγοι ἀπεκρίναντο τὰ μὲν ἀμφὶ τῷ ὅρκῳ ὅπῃ οἱ βουλομένῳ ἐστὶν αὐτὸν διοικήσασθαι, εἰς μέν τοι τὸ ἕτερον σοφίᾳ περιελθεῖν τὸν πολέμιον»· ἔτι καὶ ἐν [2]. Ὁ δ' Ἀγαθίας ἐν [3] καὶ ἐν σελ. 180,11, οἷον, «Ἤδη δὲ τὸ ἔαρ παρῳχήκει καὶ ἡ τοῦ θέρους ἤκμαζεν ὥρα, Λευθαρίῳ μὲν θατέρῳ τῶν ἡγεμόνων βουλομένῳ ἦν οἴκαδε ἀπονοσῆσαι καὶ τοῦ ὄλβου ἐμπίπλασθαι». Ἀλλαχοῦ πάλιν ὁ Προκόπιος εἰς δήλωσιν χρόνου ποιεῖται χρῆσιν τοῦ σπανιωτάτου τρόπου, τῆς ὑπὸ μετ' αἰτιατικῆς, ὡς ἐν *bello Pers.* 79,3 καὶ [4]. οἷον· «ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους Ναρσῆς τε καὶ Ἀράτιος...... αὐτόμολοι εἰς Ρωμαίους ἧκον». Ἀγαθ. ἐν 203,9 λέγει «ὑπὸ δὲ τὸν αὐτὸν χρόνον θέρους ὥρᾳ ἔσεισε μέγα ἔν τε Βυζαντίῳ καὶ πολλαχοῦ τῆς Ῥωμαίων ἀρχῆς». Ὁμοίως χρῆται ὁ Προκόπιος τῇ φράσει «ἔννοια ἦλθεν, ἐγένετο» οἷον, ἐν *beb Per.* 98,18· «Ἔννοια δὲ τότε Ἰουστινιανῷ βασιλεῖ γέγονεν Αἰθίοπάς τε καὶ Ὁμηρίτας ἐπὶ τῷ Περσῶν πονηρῷ ἑταιρίσασθαι»· αὖθις ἐν [5]. Οὕτω καὶ Ἀγαθίας ἐν 264,26, «Ἐπειδὴ οὖν εἰς τούσδε παραγέγονεν, ἔννοιά τις αὐτοὺς

[1] Ἀγαθ. 237.26. 282,28. 288,31. 331, 30.

[2] Προκοπ. *bello Pers.* 97,7. *Wand.* 507,8. *Goth.* 369,16. *Hist. arch.* 55,18.

[3] Ἀγαθ. 185,15. 264,8. 271,6. 354,31.

[4] Προκοπ. *bello P.* 79,3. 119,11. *W.* 404,17. *Goth.* 177,20. *Pers.* 249,6.

[5] Προκοπ. *bello Pers.* 188,16. *bello W.* 479,19. *Goth.* 375,15. *Pers.* 113,4. *W.* 530,13.

εἰσῆλθεν ὡς ἄρα ἕν τι τῶν σφετέρων φρουρίων....». καὶ ἐν [1]. Τῷ ἐπιρρήματι αὐτοβοεὶ χρῆται ὅ τε Προκ. καὶ Ἀγαθ. κυρίως προκειμένου περὶ αἰφνιδίας καταλήψεως φρουρίου, στρατοπέδου, ἢ πόλεώς τινος κ.λ. Καὶ δὴ ὁ μὲν Προκόπιος ἐν [2] καὶ ἐν *bel. Pers.* 192,10, οἷον· «Πρὸς δὲ νενικηκότες ἤδη καὶ αὐτοβοεὶ τὴν πόλιν ἑλόντες θράσει θανατιῶντες ἀλογίστῳ ζυγομαλεῖν ἔγνωσαν». ὁ δ' Ἀγαθίας ἐν σελ. 156,30, λέγων «Καὶ Ναρσῆς μὲν θαρραλεώτερον τῷ φρουρίῳ αὖθις προσέβαλλεν, ὡς καὶ αὐτοβοεὶ ἅπαν ἀναρπασόμενος». ἔτι δὲ καὶ ἐν [3] Ὁ Προκόπιος αὖθις τὴν θέσιν, ἣν κατέχει τις δηλῶσαι βουλόμενος χρῆται τῇ φράσει «τελῶν εἴς τι» ὡς ἐν *bello Wand.* 360,16 ἔνθα λέγει· «Ἐστέλλετο δὲ καὶ Ἀρχίλαος, ἀνὴρ εἰς Πατρικίους τελῶν, ἤδη μὲν τῆς αὐλῆς ὕπαρχος, ἔν τε Βυζαντίῳ καὶ Ἰλλυριοῖς γεγονώς, τότε δὲ τοῦ στρατοπέδου καταστὰς ὕπαρχος». καὶ ἐν [4]. Τοῦτον μιμούμενος καὶ Ἀγαθίας ἐν σελίδι 135,9 περί τινος νέου Εὐτυχιανοῦ λέγει»· Ἀρχηγός τε ἦν τῆς παραινέσεως ἀνὴρ τὰ πρῶτα τελῶν ἐν τοῖς τῶν Βασιλέων ὑπογραφεῦσι καὶ τὰ ἄλλα ἀγαθὸς καὶ ἀγχινούστατος». καὶ ἐν [5]. Ἀλλαχοῦ πάλιν ὁ Προκόπιος τὸ προκεχωρηκὸς τῆς νυκτὸς σημαίνει διὰ τῆς ἑξῆς φράσεως «πόρρω τῶν νυκτῶν» ὡς ἐν *bel. Pes.* 298,21. «Ἄραντες οὖν παντὶ τῷ στρατῷ ἐπ' αὐτοῖς ᾔεσαν, διαριθμούμενοι ὅπως που πόρρω τῶν νυκτῶν ἐπιπέσοιεν σφίσι». ἔτι ἐν [6]. Αὖθις Ἀγαθ. ἐν σελ. 272,4. «Εὐθὺς δὴ οὖν ὁ Ναχοραγιὰν πόρρω τῶν νυκτῶν τὰς ἀκάτους, ὁ σώσας ἐφ' ἁμαξῶν ἐπήγετο εἰς τὸν ποταμὸν ἐμβαλὼν καὶ ζεύξας...». Τὸ ποσὸν κατὰ προσέγγισιν ἐκφέρει ὁ Προκόπιος ἐπὶ τοῦ ἐπιρρήματος μάλιστα καί τινος ἀριθμητικοῦ. π.χ. ἐν *bel. Wand*, 346,12 «ὁ δὲ

[1] Ἀγαθ. 281,16. 264,26.
[2] Προκοπ. *bello Pers.* 279,9. *Wand.* 337,15. *Goth.* 125,4.
[3] Ἀγαθ. 192,1. 318,24. 382,13.
[4] Προκοπ. *de bello Goth.* 6,19.
[5] Ἀγαθ. ἐν σελ. 342,8. 135,9.
[6] Προκοπ. *Wand.* 12, W. 460,21, *aed.* 196,5.

οἱ τὴν ἀδελφὴν ἔπεμψε καὶ Γότθων δοκίμους χιλίους ἐν δορυφόρων λόγῳ, οἷς δὴ ὅμιλος θεραπείας εἵπετο εἰς πέντε μάλιστα χιλιάδας ἀνδρῶν μαχίμων». ἔτι καὶ ἐν [1]. Οὕτω καὶ Ἀγαθίας ἐν [2] καὶ ἐν σελίδι 185,22, οἷον «Ἐς τρεῖς γὰρ αὐτῷ μάλιστα χιλιάδας μαχίμων ἀνδρῶν ἡ λειπομένη στρατιὰ ξυνετάττετο». Ὡσαύτως τῇ λέξει ῥόθιον χρῶνται ἀμφότεροι, ὁ μὲν Προκόπιος ἐν *Hist. arc.* 545, 6 οἷον· «Πολλὰ δὲ ῥίπτειν καὶ εἰς θαλασσίους οἰκοδομίας τινὰς ἠξίου, βιαζόμενος τὸ τῶν κυμάτων ἐς ἀεὶ ῥόθιον» καὶ ἐν [3]. Ὁ δ' Ἀγαθ. ἐν σελ. 153,10· «Ἐπὶ γὰρ τῇ ἀκτῇ ὁ λόφος ἀνέχει, ὡς καὶ ἀμφ' αὐτὸν δήπου τὸν πρόποδα ῥοχθεῖν τε καὶ περικλᾶσθαι τὸ ῥόθιον» καὶ ἐν τοῖς ἑξῆς ἔτι χωρίοις [4]. Αὖθις ὁ Προκόπιος ἐν *bello Goth.* 178, 10 ποιεῖται χρῆσιν τοῦ ῥήματος ὠδύνω,—ομαι, οἷον «τῆς δὲ τύχης ὁ φθόνος ὤδινεν ἤδη ἐπὶ Ῥωμαίους, ἐπεὶ τὰ πράγματα εὖ τε καὶ καλῶς σφίσιν ἐπίπροσθεν προϊόντα ἑώρα». Ἀγαθίας δὲ ἐν σελ. 141,14, οἷον «Ἐνθένδε τε ὄλεθροι ξυμβαίνουσι πολλοὶ καὶ γένη ἀνθρώπων ἀνάρπαστα γίγνεται καὶ μυρίας ἄλλας ὠδύνονται κῆρες. Ὁ Προκόπιος χρῆται πρὸς τούτοις καὶ τῇ φράσει «οὐδεμιᾷ ἢ πάσῃ μηχανῇ» οἷον,ἐν *Hist.arc.* 38,8· Ἡ δὲ οὐκ ἔχουσα τίς γένηται διὰ πάσης ὁδοῦ ἰοῦσα ἑκάτερον μετιέναι μηχανῇ πάσῃ οὐκ ἀπηξίου», ὅπως ἂν τὰ πραττόμενα μηχανῇ τῇ πάσῃ διακωλύο»· καὶ ἐν [5]. Τοῦτον μιμεῖται καὶ Ἀγαθίας ἐν [6] καὶ ἐν 240,11 λέγων· «Ἀναγκαστέον αὐτὸν κατήκοον ὄντα καὶ πάσῃ μηχανῇ ἐκπεμπτέον». Ἐν *Hist. arc.* 81,21, ἰσχυρὰν βεβαίωσιν θέλων ὁ Προκόπιος σημῆναι χρῆται τῇ φράσει «πῶς οὐκ ἔμελλε;» οἷον «Πῶς δ' οὐκ ἔμελλεν ὅδε ὁ ἀνὴρ δαίμων τις ἀλιτήριος εἶναι, ὅς γε ποτοῦ ἢ σιτίων καὶ ὕπνου εἰς κόρον οὐδέποτε

[1] Προκοπ. *Wand.* 312,10. W. 346,12 κλ.

[2] Ἀγαθ. 272,12. 215,21. 185,22.

[3] Προκ. *bello* W. 429,6. *Hist. arch.* 545,6.

[4] Ἀγαθ. 181,18. 206,20. 378,10.

[5] Προκοπ. *aed.* 245,25. *P.* 211,10. W. 591,16. *G.* 163,2.

[6] Ἀγαθ. 390,6. 240,11.

ἦλθε;» Τῇ αὐτῇ φράσει χρῆται ἢ κάλλιον εἰπεῖν καταχρῆται καὶ Ἀγαθ. ἐν [1] καὶ ἐν σελ. 202,18, «Πῶς γὰρ οὐκ ἤμελλεν ἄδικόν τι καὶ ἀγεννὲς ἐγχείρημα δράσας;» Τὴν ἀπόβασιν πράγματός τινος πολλάκις ὁ Προκόπιος δηλῶσαι βουλόμενος χρῆται τῇ φράσει «εἰς τόδε ἐτελεύτα», ὡς ἐν *bel. P.* 47,14 λέγει «οὕτω μὲν ὥσπερ ἐρρήθη ἀρξάμενος ὁ Ῥωμαίων καὶ Περσῶν πόλεμος εἰς τόδε ἐτελεύτα». ἔτι ἐν [2]. Καὶ Ἀγαθ. ἐν 183,29, οἷον «Λευθαρίῳ μὲν οὖν καὶ τῷ οἱ ἑπομένῳ ὁμίλῳ ἐς τόδε τύχης τὰ τῆς ἐκστρατείας ἐτελεύτα».Ὅταν πάλιν ὁ Προκόπιος τι μετ'εὐκολίας τελεσθὲν δηλῶσαι βούληται χρῆται τῇ φράσει «πόνῳ οὐδενὶ» οἷον ἐν *bello Wand.* 422,4, λέγει «τοὺς γὰρ κατ' αὐτοὺς οὐδενὶ πόνῳ ἐτρέψαντο ἕκαστοι». ἐν [3]. Ταύτην παραλαμβάνει καὶ Ἀγαθ. ἐν σελ. 245,12, λέγων· «Τούτων γὰρ ὡς τὸ εἰκὸς διὰ τὴν ὀλιγότητα νικωμένων, ἑπόμενον εἶναι τοὺς ἐν τῷ φρουρίῳ τάχιστα προσχωρήσειν..... εἰδέ..... οὐδενὶ πόνῳ διαφθαρῆναι».

Γον Κατὰ τὰς ἀκολούθους θρησκευτικὰς δοξασίας.

§ 11. Ὡς ἐκ πολλῶν χωρίων [4] προκύπτει, ὅτε Ἀγαθίας καὶ Προκόπιος ἦσαν χριστιανοί, οὐχὶ ὅμως φανατικοὶ ἀλλὰ ἀνεξίθρησκοι καὶ δὴ δεισιδαίμονες. Ἐξ ἀμφοτέρων ὅμως ὁ Προκόπιος ἦν ἧττον τῇ Χριστιανικῇ Θρησκείᾳ προσκεκολλημένος ἢ Ἀγαθίας. Καίτοι ἐν ἀμφοτέροις ἀπαντῶσι πλείω χωρία ἀποδεικνύντα αὐτοὺς χριστιανούς, δὲν ἐλλείπουσιν ὅμως ἐν αὐτοῖς καὶ χωρία ἐθνικὰς ἰδέας καὶ σκεπτικισμὸν ἀποπνέοντα. Ταῦτα περὶ αὐτῶν ἐν ὀλίγοις. πλείω περὶ τούτων ἴδε *Teuffel* καὶ

[1] Ἀγαθ. 208,25. 223,12. 391,23. 202,18.

[2] Προκοπ. 238,14. *P.* 286,15. *P.* 309,1 W.

[3] Προκοπ. *Pers.* 13,14. *Wand.* 483,5. W. 424,4.

[4] Προκοπ. *Pers.* 209. W. 339,22. *Goth.* 324. *Aed.* 183—184—85 καὶ ἀλλαχοῦ. Ἀγαθ. 258,30. 354,28. 142,20. 351,24 κλ.

Schneideffiin ἐν τοῖς ἑαυτῶν φιλολόγοις. Νῦν οὖν ταῦτα ἐάσαντες ἴδωμεν κατὰ τί Ἀγαθίας μιμεῖται τὸν Προκόπιον. Ὁ Ἀγαθίας μιμεῖται τὸν Προκόπιον κατὰ τὸ ἀόριστον καὶ ἀρνητικὸν περὶ τῆς αὐτοῦ θρησκευτικῆς δοξασίας, οὐδαμοῦ σχεδὸν δηλῶν καὶ οὗτος καθαρῶς τὸ ὂν ᾧ πιστεύει Ὁ Προκόπιος τὸν Θεὸν ὀνομάζει ἐνίοτε κρεῖττον, καὶ παρίστησι τοῦτον τοῖς δικαίοις εὐμενῆ. ἐν *bello Wand.* 351,22, ἔνθα παραινῶν Γελίμεραν τὸν Ἰλδέριχον δεσμεύσαντα καὶ τὴν αὐτοῦ βασιλείαν βίᾳ καταλαβόντα, λέγει· «ταῦτα γάρ σοι ποιοῦντι τά τε ἀπὸ τοῦ κρείττονος εὐμενῆ ἔσται καὶ τὰ παρ' ἡμῶν φίλια». Ὡσαύτως καὶ Ἀγαθίας ὀνομάζει τοῦτον κρεῖττον καὶ παρίστησιν αὐτὸν τοῖς δικαίοις ἀρωγὸν ὡς ἐν σελίδι 167,11 «συναγωνιεῖται δὲ καὶ τὸ κρεῖττον ἡμῖν, ὡς σφόδρα δικαίως ὑπὲρ τῶν οἰκείων ἀμυνομένοις· οἱ δὲ τὴν ἑτέρων δῃοῦσιν». Ἐν *bello Per.* 34,16 καλεῖ ὁ Προκόπιος τὸν Θεὸν Θεῖον, οἷον· «Ἦν δέ τις ἐν Σύροις ἀνὴρ δίκαιος, Ἰάκωβος ὄνομα, ᾧ τὰ εἰς τὸ Θεῖον ἀκριβὲς ἤσκητο«. ἔτι καὶ ἐν *Pers.* 202,14· «Οἶμαι δ' ἂν αὐτὸν καὶ τὴν πόλιν ὅλην ἀνδραποδίσασθαί τε καὶ λῃίσασθαι οὐκ ἂν ἀποκνεῖσαι, εἰ μή τι θεῖον αὐτὸν ἐκ τοῦ ἐμφανοῦς διεκώλυσεν». πρὸς δὲ *Wand.* 530,7 καὶ ἀλλαχοῦ. Τὸν Προκόπιον μιμεῖται καὶ Ἀγαθίας ἐν 142,20, οἷον· «Εἰσὶ γὰρ οἱ Φράγγοι οὐ νομάδες, ὥσπερ ἀμέλει ἔνιοι τῶν βαρβάρων, ἀλλὰ καὶ πολιτείᾳ ὡς τὰ πολλὰ χρῶνται Ῥωμαϊκῇ καὶ νόμοις τοῖς αὐτοῖς καὶ τὰ ἄλλα ὁμοίως ἀμφί τε τὰ συμβόλαια καὶ γάμους καὶ τὴν τοῦ θείου θεραπείαν νομίζουσιν· χριστιανοὶ γὰρ ἅπαντες τυγχάνουσιν ὄντες καὶ τῇ ὀρθοτάτῃ χρώμενοι δόξῃ». ἔτι ἐν 351,7 «Οὕτω δὴ οὖν ἁπάντων ἀφυπνισθέντων κωκυτὸς ἠκούετο πάντοθεν καὶ ὀλολυγὴ καὶ ἡ πρὸς τὸ θεῖον ἀναβοᾶσθαι αὐτομάτως ἐν τούτοις εἰωθυῖα φωνή». σὺν τούτοις καὶ ἐν 351, 24. Ἔτι δὲ ὅτι Προκόπιος καὶ Ἀγαθίας παραδέχονται τύχην, ὁ μὲν Προκόπιος ἐν *Goth,* 28,21. *Pers.* 227,6 καὶ *Wand.* 396,6, οἷον· «Παρῆν τε ὡραϊζομένην τὴν τύχην καὶ ποιουμένην ἐπίδειξιν, ὡς ἅπαντά τε αὐτῆς εἴη καὶ

οὐδὲν ἀνθρώπῳ ἴδιον γένοιτο». Ὁ δ' Ἀγαθίας ἐν 376, 29, οἷον· «Πῶς οὖν οὐκ αἰσχρὸν ἡμᾶς ἐξ ἀγχεμάλου παρασκευῆς ἀγωνιζομένους οὕτω λίαν ἔχειν τὸ προπετὲς καὶ ἀκάθεκτον ὡς μηδὲ καιρὸν ἢ τάξιν ἢ τὰς ἀτάκτους τῆς τύχης ῥοπὰς ἐν λόγῳ ποιεῖσθαι; ἔτι δὲ καὶ ἐν τοῖς ἑξῆς χωρίοις 377,10. 251,20. 273,14 καὶ 199,15. Καὶ τελευταῖον ὅτε Προκόπιος καὶ Ἀγαθίας πιστεύουσι τοῖς ὀνείροις, ὁ μὲν πρῶτος ἐν *bello Goth.* 397 καὶ ἐν *Histarc.* 44. ὁ δὲ δεύτερος ἐν 233 σελίδι. Ἐκ τῶν ἄνω παρατεθέντων χωρίων προκύπτει ὅτι Ἀγαθ. ἀπεμιμήσατο Ἡρόδοτόν τε καὶ Προκόπιον κατὰ πολλὰς φράσεις, ἐννοίας καὶ λέξεις, ὅπερ καὶ κύριος σκοπὸς τοῦ ἡμετέρου θέματος ἦν. Μετὰ τὴν ἀπόδειξιν οὖν τῶν ἄνω τίθεμεν πέρας εἰς τὴν παροῦσαν ἡμῶν πραγματείαν.

